# ΙΣΟΚΡΑΤΟΥΣ

## ΑΡΕΙΟΠΑΓΙΤΙΚΟΣ

Ἐπὶ τῶν τελευταίων χρόνων τοῦ Ἰσοκράτους εἶχεν ἀρχίσῃ τὸ πολίτευμα τῶν Ἀθηναίων νὰ παρακμάζῃ, μέχρις ὅτου κατήντησε τελευταῖον εἰς Δημάδας καὶ Ἀριστίωνας. Τὴν τοιαύτην κατάστασιν τῶν πραγμάτων θέλων νὰ προλάβῃ, τὸ ἐπ' αὐτῷ, ὁ ῥήτωρ, συνέταξε τὸν παρόντα λόγον (τὸν ὁποῖον ὅμως ἄδηλον ἂν ὡμίλησεν, ὡς ἀποφυγὼν ἀπ' ἀρχῆς τὸ βῆμα καὶ τὰς ἀηδίας τε, καθὼς καὶ ὁ ἴδιος λέγει ἐπιστέλλων πρὸς τὸν Φίλιππον, ἴδε σελ. 121) καὶ παραβάλλων δι' αὐτοῦ τὸ παλαιὸν πολίτευμα πρὸς τὸ τότε, συμβουλεύει τοὺς συμπολίτας του νὰ ἐπαναφέρωσι τὰ πράγματα εἰς τὴν πρώτην των τάξιν, ἡ φωνή του ὅμως ἔμεινε «φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ» καθὼς συνήθως συμβαίνει εἰς ὅσα ἔθνη ὑπερισχύει τοῦ γενικοῦ τὸ μερικὸν καὶ ἀτομικὸν συμφέρον. Ἀλλ' εἴθε νὰ χρησιμεύσωσιν οἱ λόγοι του εἰς ἡμᾶς, οἱ ὁποῖοι καυχώμεθα εἰς τὰς ἀρετὰς ἐκείνων!

Πολλοὺς ὑμῶν οἶμαι θαυμάζειν, ἥντινά ποτε γνώμην ἔχων, περὶ σωτηρίας τὴν πρόσοδον ἐποιησάμην[1], ὥσπερ τῆς πόλεως ἐν κινδύνοις οὔσης, ἢ σφαλερῶς αὐτῇ τῶν πραγμάτων καθεστηκότων[2], ἀλλ' οὐ πλείους μὲν τριήρεις ἢ διακοσίας κεκτημένης, εἰρήνην δὲ καὶ τὰ[3] περὶ τὴν χώραν ἀγούσης, καὶ τῶν κατὰ θάλατταν ἀρχούσης· ἔτι δὲ συμμάχους ἐχούσης, πολλοὺς μὲν τοὺς ἑτοίμως ἡμῖν, ἤν τι δέῃ, βοηθήσοντας[4], πολὺ δὲ πλείους τοὺς τὰς συντάξεις[5] ὑποτελοῦντας καὶ τὸ προσταττόμενον ποιοῦντας. Ὧν ὑπαρχόντων, ὑμᾶς μὲν ἄν τις φήσειεν εἰκὸς εἶναι θαῤῥεῖν, ὡς πόῤῥω τῶν κινδύνων ὄντας, τοῖς δ' ἐχθροῖς τοῖς ἡμετέροις προσήκειν δεδιέναι καὶ βουλεύεσθαι περὶ τῆς αὐτῶν σωτηρίας.

Ὑμεῖς μὲν οὖν οἶδ' ὅτι τούτῳ χρώμενοι τῷ λογισμῷ, καὶ τῆς ἐμῆς προσόδου καταφρονεῖτε, καὶ πᾶσαν ἐλπίζετε τὴν Ἑλλάδα ταύτῃ τῇ δυνάμει κατασχήσειν· ἐγὼ δὲ δι' αὐτὰ ταῦτα τυγχάνω δεδιώς. ὁρῶ γὰρ τῶν πόλεων τὰς ἄριστα πράττειν οἰομένας κάκιστα βουλευομένας, καὶ τὰς μάλιστα θαῤῥούσας εἰς πλείστους κινδύνους καθισταμένας. Αἴτιον δὲ τούτων ἐστὶν ὅτι τῶν ἀγαθῶν καὶ τῶν κακῶν οὐδὲν αὐτὸ καθ' αὑτὸ παραγίγνεται τοῖς ἀνθρώποις, ἀλλὰ συντέτακται καὶ συνακολουθεῖ τοῖς μὲν πλούτοις καὶ ταῖς δυναστείαις ἄνοια καὶ μετὰ ταύτης ἀκολασία, ταῖς δὲ ἐνδείαις καὶ ταῖς ταπεινότησι σωφροσύνη καὶ μετριότης. Ὥστε χαλεπὸν εἶναι διαγνῶναι, ποτέραν ἄν τις δέξαιτο τῶν μερίδων τούτων τοῖς παισὶ τοῖς αὑτοῦ καταλιπεῖν. ἴδοιμεν γὰρ ἂν ἐκ μὲν τῆς φαυλοτέρας[6] εἶναι δοκούσης ἐπὶ τὸ βέλτιον ὡς ἐπὶ τὸ πολὺ τὰς πράξεις ἐπιδιδούσας, ἐκ δὲ τῆς κρείττονος φαινομένης ἐπὶ τὸ χεῖρον εἰθισμένας μεταπίπτειν. Καὶ τούτων ἐνεγκεῖν ἔχω παραδείγματα πλεῖστα μὲν ἐκ τῶν ἰδιωτικῶν πραγμάτων (πυκνοτάτας γὰρ ταῦτα λαμ-

[1]) Ἐπαρουσιάσθην εἰς ὑμᾶς νὰ ὁμιλήσω. [2]) Εἰς ἐπισφαλῆ κατάστασιν εὑρισκομένων. [3]) (Κατὰ) τὰ περὶ τὴν χ., δ. ἐ. ξηρᾶς. [4]) Δι' ὅπλων δηλονότι. [5]) Τοὺς φόρους, κατ' εὐφημισμόν· Γνωστὸν δὲ ὅτι ὅσαι τῶν συμμάχων Ἑλλήνων πόλεις δὲν συνεισέφερον πλοῖα καὶ στρατεύματα, ἐπλήρωναν ἀντ' αὐτῶν χρήματα εἰς τοὺς Ἀθηναίους, ὡς προμάχους τῶν λοιπῶν. [6]) δ. ἐ. Ἐνδεοῦς Μερίδος.

ΙΩΑΝΝΙΝΑ 2006

δάνει τὰς μεταβολάς), οὐ μὴν ἀλλὰ μείζω γε καὶ φανερώτερα τοῖς ἀκούουσιν ἐκ τῶν ἡμῖν καὶ Λακεδαιμονίοις συμβάντων.

Ἡμεῖς τε γάρ, ἀναστάτου μὲν τῆς πόλεως ὑπὸ τῶν βαρβάρων γεγενημένης[7], διὰ τὸ δεδιέναι καὶ προσέχειν τὸν νοῦν τοῖς πράγμασιν, ἐπρωτεύσαμεν τῶν Ἑλλήνων· ἐπειδὴ δ' ἀνυπέρβλητον ᾠήθημεν ἔχειν τὴν δύναμιν, παρὰ μικρὸν ἤλθομεν ἐξανδραποδισθῆναι[8]. Λακεδαιμόνιοί τε τὸ μὲν παλαιὸν ἐκ φαύλων τε καὶ ταπεινῶν πόλεων ὁρμηθέντες, διὰ τὸ σωφρόνως ζῆν καὶ στρατιωτικῶς, κατέσχον Πελοπόννησον· μετὰ δὲ ταῦτα μεῖζον φρονήσαντες τοῦ δέοντος, καὶ λαβόντες καὶ τὴν κατὰ γῆν καὶ τὴν κατὰ θάλατταν ἀρχήν, εἰς τοὺς αὐτοὺς κινδύνους κατέστησαν ἡμῖν[9]. Ὅστις οὖν εἰδὼς τοσαύτας μεταβολὰς γεγενημένας, καὶ τηλικαύτας δυνάμεις οὕτω ταχέως ἀναιρεθείσας, πιστεύει τοῖς παροῦσι, λίαν ἀνόητός ἐστιν, ἄλλως τε καὶ τῆς μὲν πόλεως ἡμῶν πολὺ καταδεέστερον νῦν πραττούσης, ἢ κατ' ἐκεῖνον τὸν χρόνον[10], τοῦ δὲ μίσους τοῦ τῶν Ἑλλήνων καὶ τῆς ἔχθρας τῆς πρὸς βασιλέα[11] πάλιν ἀνακεκαινισμένης, ἃ τότε κατεπολέμησεν ἡμᾶς.

Ἀπορῶ δὲ πότερον ὑπολάβω μηδὲν μέλειν ὑμῖν τῶν κοινῶν πραγμάτων, ἢ φροντίζειν μὲν αὐτῶν, εἰς τοῦτο δ' ἀναισθησίας ἥκειν, ὥστε λανθάνειν ὑμᾶς εἰς ὅσην ταραχὴν ἡ πόλις καθέστηκεν. Ἐοίκατε γὰρ οὕτω[12] διακειμένοις ἀνθρώποις, οἵτινες[13] ἁπάσας μὲν τὰς πόλεις τὰς ἐπὶ Θρᾴκης ἀπολωλεκότες, πλείω δ' ἢ χίλια τάλαντα μάτην εἰς τοὺς ξένους[14] ἀνηλωκότες, πρὸς δὲ τοὺς Ἕλληνας διαβεβλημένοι καὶ τῷ βαρβάρῳ πολέμιοι γεγονότες, ἔτι δὲ τοὺς μὲν Θηβαίων φίλους σώζειν ἠναγκασμένοι[15], τοὺς δ' ἡμετέρους αὐτῶν συμμάχους ἀπολωλεκότες, ἐπὶ τοσαύταις πράξεσιν[16] εὐαγγέλια μὲν δὶς ἤδη τεθύκαμεν, ῥᾳθυμότερον δὲ περὶ αὐτῶν ἐκκλησιάζομεν[17] τῶν πάντα τὰ δέοντα πραττόντων. Καὶ ταῦτ' εἰκότως καὶ ποιοῦμεν καὶ πάσχομεν[18]· οὐδὲν γὰρ οἷόν τε γίγνεσθαι κατὰ τρόπον[19] τοῖς μὴ καλῶς περὶ τῆς διοικήσεως ὅλης βεβουλευμένοις, ἀλλ' ἐὰν καὶ κατορθώσωσι περί τινας τῶν πράξεων, ἢ διὰ τύχην, ἢ δι' ἀνδρὸς ἀρετήν, μικρὸν διαλιπόντες, πάλιν εἰς τὰς αὐτὰς ἀπορίας κατέστησαν. Καὶ ταῦτα γνοίη τις ἂν ἐκ τῶν περὶ ἡμᾶς γεγενημένων.

Ἁπάσης γὰρ τῆς Ἑλλάδος ὑπὸ τὴν πόλιν ἡμῶν ὑποπεσούσης καὶ μετὰ τὴν Κόνωνος ναυμαχίαν[20] καὶ μετὰ τὴν Τιμοθέου στρατηγίαν[21], οὐδένα χρόνον τὰς εὐτυχίας κατασχεῖν ἠδυνήθημεν, ἀλλὰ ταχέως διεσκαριφησάμεθα[22]

---

[7]) Ἐπὶ τῶν Μηδικῶν. [8]) Ὑπὸ τῶν Λακεδαιμονίων, μετὰ τὴν ἐν Αἰγὸς ποταμοῖς ἧτταν, ἴδε Ξενοφ. Ἑλλην. [9]) Ὑπὸ Θηβαίων στρατηγουμένων ὑπὸ τοῦ Ἐπαμινώνδα. [10]) Τὸν ἐπὶ τοῦ Πελοποννησιακοῦ πολέμου. [11]) Τὸν μέγαν, τὸν τῶν Περσῶν. [12]) Ὡς προεῖπον, ἀναισθήτως. [13]) Ὑμεῖς οἵτινες. [14]) Τοὺς μισθοφόρους στρατιώτας, τοὺς μὴ πολίτας.

[15]) Διὰ τὴν μετὰ τῶν Θηβαίων συμμαχίαν ἡμῶν. [16]) Εἰρωνικῶς ἀντὶ ἀποτυχίαις, κακοπραγίαις. [17]) Συζητοῦμεν ἐπ' ἐκκλησίας (συνελεύσεως). [18]) Τὸ μὲν Ποιοῦμεν, διὰ τὸ θύειν εὐαγγέλια καὶ ἐκκλησιάζειν ῥᾳθύμως, τὸ δὲ Πάσχομεν διὰ τὰ ἄνω εἰρημένα δυστυχήματα. [19]) Καθὼς πρέπει. [20]) Τὴν ἐν Κνίδῳ, ἴδε τοῦ ῥήτορος τὸν Πρὸς Φίλιππον, σελ. 118.

[21]) Τιμόθεος, υἱὸς (νόθος) τοῦ Κόνωνος, στρατηγὸς τῶν Ἀθηναίων διάσημος, ὃ τοσαύτας ᾕρηκε πόλεις κατὰ κράτος, λέγει ὁ Ἰσοκράτης, ὅσας οὐδεὶς πώποτε τῶν ἐστρατηγηκότων· ἤκμαζε δὲ μάλιστα ἀπὸ τοῦ 376—356 π. Χ. [22]) διεσκορπίσαμεν ὡς κόπρον (ἔχυσε κτλ.), ἐχάσαμεν.

καὶ διελύσαμεν αὐτάς. Πολιτείαν γὰρ τὴν ὀρθῶς ἂν τοῖς πράγμασι χρησομένην οὔτ᾽ ἔχομεν[43], οὔτε καλῶς ζητοῦμεν. Καίτοι τὰς εὐπραγίας ἅπαντες ἴσμεν καὶ παραγιγνομένας καὶ παραμενούσας οὐ τοῖς τὰ τείχη μέγιστα καὶ κάλλιστα περιβεβλημένοις, οὐδὲ τοῖς μετὰ πλείστων ἀνθρώπων εἰς τὸν αὐτὸν τόπον συνηθροισμένοις, ἀλλὰ τοῖς ἄριστα καὶ σωφρονέστατα τὴν αὑτῶν πόλιν διοικοῦσιν. Ἔστι γὰρ ψυχὴ πόλεως οὐδὲν ἕτερον, ἢ πολιτεία, τοσαύτην ἔχουσα δύναμιν, ὅσην περ ἐν σώματι φρόνησις. Αὕτη γάρ ἐστιν ἡ βουλευομένη περὶ ἁπάντων καὶ τὰ μὲν ἀγαθὰ διαφυλάττουσα, τὰς δὲ συμφορὰς διαφεύγουσα. Ταύτῃ καὶ τοὺς νόμους καὶ τοὺς ῥήτορας, καὶ τοὺς ἰδιώτας ἀναγκαῖόν ἐστιν ὁμοιοῦσθαι, καὶ πράττειν οὕτως ἑκάστους, οἵαν περ ἂν ταύτην ἔχωσιν. Ἧς ἡμεῖς διεφθαρμένης οὐδὲν φροντίζομεν, οὐδὲ σκοποῦμεν ὅπως ἐπανορθώσομεν αὐτήν· ἀλλ᾽ ἐπὶ μὲν τῶν ἐργαστηρίων καθίζοντες[44] κατηγοροῦμεν τῶν καθεστώτων, καὶ λέγομεν, ὡς οὐδέποτε ἐν δημοκρατίᾳ κάκιον ἐπολιτεύθημεν· ἐν δὲ τοῖς πράγμασι καὶ ταῖς διανοίαις[45] αἷς ἔχομεν, μᾶλλον αὐτὴν ἀγαπῶμεν τῆς ὑπὸ τῶν προγόνων καταλειφθείσης. Ὑπὲρ ἧς[46] ἐγὼ καὶ τοὺς λόγους μέλλω ποιεῖσθαι, καὶ τὴν πρόσοδον ἀπεγραψάμην[47].

Εὑρίσκω γὰρ ταύτην ἂν μόνην γενομένην, καὶ τῶν μελλόντων κινδύνων ἀποτροπήν, καὶ τῶν παρόντων κακῶν ἀπαλλαγήν, ἢν ἐθελήσωμεν ἐκείνην τὴν δημοκρατίαν ἀναλαβεῖν, ἣν Σόλων μὲν ὁ δημοτικώτατος γενόμενος ἐνομοθέτησε, Κλεισθένης δὲ[48], ὁ τοὺς τυράννους ἐκβαλὼν καὶ τὸν δῆμον καταγαγών, πάλιν ἐξ ἀρχῆς κατέστησεν. Ἧς οὐκ ἂν εὕροιμεν οὔτε δημοτικωτέραν[49], οὔτε μᾶλλον τῇ πόλει συμφέρουσαν. Τεκμήριον δὲ μέγιστον[50]· οἱ μὲν γὰρ ἐκείνῃ χρώμενοι, πολλὰ καὶ καλὰ διαπραξάμενοι, καὶ παρὰ πᾶσιν ἀνθρώποις εὐδοκιμήσαντες, παρ᾽ ἑκόντων τῶν Ἑλλήνων τὴν ἡγεμονίαν ἔλαβον[51]· οἱ δὲ τῆς νῦν παρούσης ἐπιθυμήσαντες, ὑπὸ πάντων μισηθέντες καὶ πολλὰ καὶ δεινὰ παθόντες, μικρὸν ἀπέλιπον τοῦ μὴ ταῖς ἐσχάταις συμφοραῖς περιπεσεῖν. Καίτοι πῶς χρὴ ταύτην τὴν πολιτείαν ἐπαινεῖν ἢ στέργειν, τὴν τοσούτων μὲν κακῶν πρότερον αἰτίαν γενομένην, νῦν δὲ καθ᾽ ἕκαστον τὸν ἐνιαυτὸν ἐπὶ τὸ χεῖρον ἀεὶ φερομένην; πῶς δ᾽ οὐ δεῖ δεδιέναι, μὴ τοσαύτης ἐπιδόσεως[52] γιγνομένης, τελευτῶντες εἰς τραχύτερα πράγματα τῶν τότε[53] γενομένων ἐξοκείλωμεν;

Ἵνα δὲ μὴ συλλήβδην μόνον ἀκηκοότες, ἀλλ᾽ ἀκριβῶς εἰδότες ποιῆσθε καὶ τὴν αἵρεσιν καὶ τὴν κρίσιν αὐτῶν, ὑμέτερον μὲν ἔργον ἐστὶ παρασχεῖν ὑμᾶς αὐτοὺς προσέχοντας τὸν νοῦν τοῖς ὑπ᾽ ἐμοῦ λεγομένοις· ἐγὼ δέ, ὡς ἂν δύνωμαι συντομώτατα περὶ ἀμφοτέρων τούτων[54] πειράσομαι διελθεῖν πρὸς ὑμᾶς

---

43) Ὁ Ἰσοκράτης, καθὼς καὶ ὅλοι οἱ φρόνιμοι, ἀπηρέσκετο εἰς τὴν τότε κατάστασιν τῆς δημοκρατίας. 44) Καθὼς τώρα λέγομεν, εἰς τὰ καφενεῖα· διότι καὶ τότε οἱ ἀργοὶ συνήρχοντο εἰς τὰ κουρεῖα μάλιστα, καὶ ἐλογοποίουν. 45) Εἰς τὰς ἐπιχειρήσεις καὶ τοὺς σκοπούς μας. 46) Τῆς τελευταίας ταύτης, τῆς παλαιᾶς. 47) Διότι κατεγράφοντο προτοῦ ὅσοι εἶχον σκοπὸν νὰ ὁμιλήσουν εἰς τὸν λαόν. 48) Ἀρχηγὸς τῆς τῶν Ἀλκμαιωνιδῶν οἰκίας ἐν Ἀθήναις υἱὸς τοῦ Μεγακλέους. 49) Εἶναι λοιπὸν καὶ δημοκρατία μὴ δημοτική, ὅταν βλάπτῃ τὰ συμφέροντα τοῦ δήμου. 50) (ἐνν.) Τοῦτο ἐστὶν ὃ μέλλω λέγειν, τὸ ἑξῆς:

51) Ἴδε Πλουτάρχῳ Ἀριστείδην. 52) «Προκοπῆς ἐπὶ τὸ χεῖρον», καθὼς λέγει ὁ Ἀπόστολος. 53) Ἐπὶ τῶν Πελοποννησιακῶν καὶ καθεξῆς. 54) Τῆς παλαιᾶς δηλονότι καὶ τῆς ἐνεστώσης καταστάσεως τοῦ πολιτεύματος.

Οἱ γὰρ κατ᾽ ἐκεῖνον τὸν χρόνον τὴν πόλιν διοικοῦντες, κατεστήσαντο πολιτείαν, οὐκ ὀνόματι μὲν τῷ κοινοτάτῳ καὶ πρᾳοτάτῳ προσαγορευομένην[35], ἐπὶ δὲ τῶν πράξεων οὐ τοιαύτην τοῖς ἐντυγχάνουσι φαινομένην, οὐδ᾽ ἣ τὸν τρόπον τοῦτον[36] ἐπαίδευε τοὺς πολίτας, ὥσθ᾽ ἡγεῖσθαι τὴν μὲν ἀκολασίαν δημοκρατίαν, τὴν δὲ παρανομίαν ἐλευθερίαν, τὴν δὲ παῤῥησίαν[37] ἰσονομίαν, τὴν δὲ ἐξουσίαν τοῦ ταῦτα[38] ποιεῖν εὐδαιμονίαν· ἀλλὰ μισοῦσα καὶ κολάζουσα τοὺς τοιούτους[39], βελτίους καὶ σωφρονεστέρους ἅπαντας τοὺς πολίτας ἐποίησε. Μέγιστον δ᾽ αὐτοῖς συνεβάλετο πρὸς τὸ καλῶς οἰκεῖν τὴν πόλιν, ὅτι δυοῖν ἰσοτήτοιν νομιζομέναιν εἶναι, καὶ τῆς μὲν ταὐτὸν ἅπασιν ἀπονεμούσης, τῆς δὲ τὸ προσῆκον ἑκάστοις, οὐκ ἠγνόουν τὴν χρησιμωτέραν[40]· ἀλλὰ τὴν μὲν τῶν αὐτῶν ἀξιοῦσαν τοὺς χρηστοὺς καὶ τοὺς πονηροὺς ἀπεδοκίμαζον, ὡς οὐ δικαίαν οὖσαν, τὴν δὲ κατὰ τὴν ἀξίαν ἕκαστον τιμῶσαν καὶ κολάζουσαν προῃροῦντο, καὶ διὰ ταύτης[41] ᾤκουν τὴν πόλιν, οὐκ ἐξ ἁπάντων τὰς ἀρχὰς κληροῦντες, ἀλλὰ τοὺς βελτίστους καὶ τοὺς ἱκανωτάτους ἐφ᾽ ἕκαστον τῶν ἔργων προκρίνοντες. Τοιούτους γὰρ ἤλπιζον ἔσεσθαι καὶ τοὺς ἄλλους, οἷοί περ ἂν ὦσιν οἱ τῶν πραγμάτων ἐπιστατοῦντες. Ἔπειτα καὶ δημοτικωτέραν ἐνόμιζον ταύτην εἶναι τὴν κατάστασιν ἢ τὴν διὰ τοῦ λαγχάνειν γιγνομένην. ἐν μὲν γὰρ τῇ κληρώσει τὴν τύχην βραβεύσειν καὶ πολλάκις λήψεσθαι τὰς ἀρχὰς τοὺς ὀλιγαρχίας ἐπιθυμοῦντας, ἐν δὲ τῷ προκρίνειν τοὺς ἐπιεικεστάτους, τὸν δῆμον ἔσεσθαι κύριον ἑλέσθαι τοὺς ἀγαπῶντας μάλιστα τὴν καθεστῶσαν πολιτείαν.

Αἴτιον δ᾽ ἦν τοῦ ταῦτα τοῖς πολλοῖς ἀρέσκειν, καὶ μὴ περιμαχήτους εἶναι τὰς ἀρχάς, ὅτι μεμαθηκότες ἦσαν ἐργάζεσθαι καὶ φείδεσθαι, καὶ μὴ τῶν μὲν οἰκείων ἀμελεῖν, τοῖς δ᾽ ἀλλοτρίοις ἐπιβουλεύειν, μηδ᾽ ἐκ τῶν δημοσίων τὰ σφέτερ᾽ αὐτῶν διοικεῖν, ἀλλ᾽ ἐκ τῶν ἑκάστοις ὑπαρχόντων, ὁπότε δεήσειε, τοῖς κοινοῖς ἐπαρκεῖν[42], μηδ᾽ ἀκριβέστερον εἰδέναι τὰς ἐκ τῶν ἀρχείων προσόδους, ἢ τὰς ἐκ τῶν ἰδίων γιγνομένας[43] αὐτοῖς. Οὕτω δ᾽ ἀπείχοντο σφόδρα τῶν τῆς πόλεως[44], ὥστε χαλεπώτερον ἦν ἐν ἐκείνοις τοῖς χρόνοις εὑρεῖν τοὺς βουλομένους ἄρχειν, ἢ νῦν τοὺς μηδὲν δεομένους· οὐ γὰρ ἐμπορίαν[44*], ἀλλὰ λειτουργίαν ἐνόμιζον εἶναι τὴν τῶν κοινῶν ἐπιμέλειαν, οὐδ᾽ ἀπὸ τῆς πρώτης ἡμέρας ἐσκόπουν ἐλθόντες[45], εἴ τι λῆμμα παραλελοίπασιν οἱ πρότερον ἄρχοντες, ἀλλὰ πολὺ μᾶλλον, εἴ τινος πράγματος πεπληρώκασι τῶν τέλος ἔχειν κατεπειγόντων[46]. Ὡς δὲ συντόμως εἰπεῖν, ἐκεῖνοι διεγνωκότες ἦσαν, ὅτι δεῖ τὸν μὲν δῆμον ὥσπερ τύραννον καθιστάναι τὰς ἀρχὰς, καὶ κολάζειν τοὺς ἐξαμαρτάνοντας, καὶ κρίνειν περὶ τῶν ἀμφισβητουμένων· τοὺς δὲ σχολὴν ἄγειν δυναμένους, καὶ βίον[47] ἱκανὸν κε-

---

35) Τῷ τῆς δημοκρατίας δηλονότι. 36) Τὸν ἑξῆς ῥηθησόμενον. 37) Αὐθάδειαν, ἀφοβησίαν, ἀναισχυντίαν. 38) Τὰ εἰρημένα, ἀκολασταίνειν δηλ., παρανομεῖν καὶ παῤῥησιάζεσθαι. Ἀλλ᾽ ὁ Κοραῆς ἔτρεψε τὸ Ταῦτα εἰς Πάντα. 39) Τοὺς ταῦτα ποιοῦντας. 40) Τὴν τὸ προσῆκον ἑκάστῳ ἀπονέμουσαν. 41) Τῆς πολιτείας δ. ᾤκουν τὴν π. 42) Ὁ Ἰσοκράτης ἠρέσκετο, καθὼς ἠξεύρομεν, εἰς τὰ ὁμοιοτέλευτα ἢ τὰ πάρισα τοῦ λόγου σχήματα. 43) Προσγινομένας. 44) Πραγμάτων. 44*) Ἴσως διορθ. Εὐπορίαν. 45) Ἀπὸ τῆς πρώτης ἡμέρας ἅμα ἤρχοντο εἰς τὰ πράγματα (τὰ τῆς πόλεως δηλ.). 46) Τῶν κατεπειγόντων τέλος ἔχειν, τῶν ὁποίων ἡ ἀποπεράτωσις ἦτον κατεπείγουσα. 47) Πλοῦτον, (χυδ.) βιὸν καὶ βιό(τα).

κτημένους ἐπιμελεῖσθαι τῶν κοινῶν ὥσπερ οἰκέτας· καὶ δικαίους μὲν γενομένους ἐπαινεῖσθαι, καὶ στέργειν ταύτῃ τῇ τιμῇ, κακῶς δὲ διοικήσαντας μηδεμιᾶς συγγνώμης τυγχάνειν, ἀλλὰ ταῖς μεγίσταις ζημίαις περιπίπτειν. Καίτοι πῶς ἄν τις εὕροι ταύτης βεβαιοτέραν ἢ δικαιοτέραν δημοκρατίαν, τῆς τοὺς μὲν δυνατωτάτους ἐπὶ τὰς πράξεις καθιστάσης, αὐτῶν δὲ τούτων[48] τὸν δῆμον κύριον ποιούσης;

Τὸ μὲν οὖν σύνταγμα τῆς πολιτείας τοιοῦτον ἦν αὐτοῖς· ῥᾴδιον δ' ἐκ τούτων καταμαθεῖν, ὡς καὶ τὰ καθ' ἡμέραν ἑκάστην ὀρθῶς καὶ νομίμως πράττοντες διετέλεσαν. Ἀνάγκη γὰρ τοῖς περὶ ὅλων τῶν πραγμάτων καλὰς τὰς ὑποθέσεις[49] πεποιημένοις, καὶ τὰ μέρη τὸν αὐτὸν τρόπον ἔχειν ἐκείνοις[50].

Καὶ πρῶτον μὲν τὰ περὶ τοὺς θεοὺς (ἐντεῦθεν γὰρ ἄρχεσθαι δίκαιον) οὐκ ἀνωμάλως οὐδ' ἀτάκτως οὔτ' ἐθεράπευον οὔτ' ὠργίαζον· οὐδ' ὁπότε μὲν δόξειεν αὐτοῖς, τριακοσίους[51] βοῦς ἔπεμπον, ὁπότε δὲ τύχοιεν, τὰς πατρίους θυσίας ἐξέλειπον· οὐδὲ τὰς μὲν ἐπιθέτους ἑορτάς[52], αἷς ἑστίασίς τις προσείη, μεγαλοπρεπῶς ἦγον, ἐν δὲ τοῖς ἁγιωτάτοις τῶν ἱερῶν[53] ἀπὸ μισθωμάτων[54] ἔθυον· ἀλλ' ἐκεῖνο μόνον ἐτήρουν, ὅπως μηδὲν μήτε τῶν πατρίων καταλύσουσι, μήτ' ἔξω τῶν νομιζομένων προσθήσουσιν. Οὐ γὰρ ἐν ταῖς πολυτελείαις ἐνόμιζον εἶναι τὴν εὐσέβειαν, ἀλλ' ἐν τῷ μηδὲν κινεῖν ὧν αὐτοῖς οἱ πρόγονοι παρέδοσαν. Καὶ γάρτοι καὶ τὰ παρὰ τῶν θεῶν[55] οὐκ ἐμπλήκτως[56], οὐδὲ ταραχωδῶς αὐτοῖς συνέβαινεν, ἀλλ' εὐκαίρως[57] καὶ πρὸς τὴν ἐργασίαν τῆς χώρας, καὶ πρὸς τὴν συγκομιδὴν τῶν καρπῶν.

Παραπλησίως δὲ τοῖς εἰρημένοις καὶ τὰ πρὸς σφᾶς αὐτοὺς διῴκουν. Οὐ γὰρ μόνον περὶ τῶν κοινῶν ὡμονόουν, ἀλλὰ καὶ περὶ τὸν ἴδιον βίον τοσαύτην ἐποιοῦντο πρόνοιαν ἀλλήλων, ὅσην περ χρὴ τοὺς εὖ φρονοῦντας, καὶ πατρίδος κοινωνοῦντας. Οἵ τε γὰρ πενέστεροι τῶν πολιτῶν τοσοῦτον ἀπεῖχον τοῦ φθονεῖν τοῖς πλείω κεκτημένοις, ὥστε ὁμοίως ἐκήδοντο τῶν οἴκων τῶν μεγάλων, ὥσπερ τῶν σφετέρων αὐτῶν, ἡγούμενοι τὴν ἐκείνων εὐδαιμονίαν αὐτοῖς εὐπορίαν ὑπάρχειν· οἵ τε τὰς οὐσίας ἔχοντες[58] οὐχ ὅπως ὑπερεώρων τοὺς καταδεέστερον πράττοντας, ἀλλ' ὑπολαμβάνοντες αἰσχύνην αὑτοῖς εἶναι τὴν τῶν πολιτῶν ἀπορίαν, ἐπήμυνον ταῖς ἐνδείαις, τοῖς μὲν γεωργίας ἐπὶ μετρίαις μισθώσεσι παραδιδόντες, τοὺς δὲ κατ' ἐμπορίαν ἐκπέμποντες, τοῖς δ' εἰς τὰς ἄλλας ἐργασίας ἀφορμὴν[59] παρέχοντες. Οὐ γὰρ ἐδεδίεσαν μὴ δυοῖν θάτερον πάθοιεν, ἢ πάντων στερηθεῖεν, ἢ πολλὰ πράγματα σχόντες, μέρος τι κομίσαιντο τῶν προσθέντων[60]· ἀλλ' ὁμοίως ἐθάρρουν

---

48) τῶν δυνατωτάτων ἢ τῶν πράξεων. 49) Τὰς βάσεις, τὰς πρώτας ἀρχάς. 50) Ὁ Κοραῆς ἔγραφε τὴν φράσιν οὕτως· «Ἀνάγκη γὰρ τοὺς περὶ ὅλ. τῶν πραγμ. καλῶς τὰς ὑποθ. » πεποιημένους, καὶ κατὰ τὰ μέρη τὸν αὐτὸν τρόπον ἔχειν ἐκείνοις». εὐοδοῦται ὅμως καὶ καθὼς εἶναι ἡ ἔννοια. Τοῖς πεποιημένοις κτλ. ἀνάγκη ἐστὶν (ὥστε) καὶ τὰ μέρη ἔχειν τὸν αὐτὸν τρόπον ἐκείνοις (τοῖς ὅλοις πράγμασι δήπου). 51) Τριακοσίας διορθοῖ ὁ Κοραῆς.

52) Τὰς μὴ πατρίους, ἀλλ' ὕστερον προστεθείσας. 53) Ταῖς πατρίοις θυσίαις.

54) Ἐκμισθούμενοι αὐτὰς κατ' ἐργολαβίαν μειοδοσίας. 55) Αἱ βροχαὶ δηλ. ἢ τὰ λοιπὰ τῶν ἄνωθεν συμβαινόντων. 56) Ὁρμητικῶς, ἀτάκτως. 57) Παράβαλε ταῦτα τοῖς Γραφικοῖς: «Καὶ δώσω ὑμῖν ὑετὸν πρώϊμον καὶ ὄψιμον· καὶ διαδέξεται ὑμῖν ὁ ἀλοητὸς τὸν ἀμητόν, καὶ τὸν ἀλοητὸν ὁ τρύγος κτλ. 58) Οἱ πλούσιοι. 59) Κεφάλαιον, καπιτάλιο.

60) Προέμενοι.

περὶ τῶν ἔξω δεδομένων, ὥσπερ περὶ τῶν ἔνδον κειμένων. Ἑώρων γὰρ τοὺς περὶ τῶν συμβολαίων κρίνοντας οὐ ταῖς ἐπιεικείαις χρωμένους, ἀλλὰ τοῖς νόμοις πειθομένους, οὐδ' ἐν τοῖς τῶν ἄλλων ἀγῶσιν αὑτοῖς ἀδικεῖν ἐξουσίαν παρασκευάζοντας, ἀλλὰ μᾶλλον ὀργιζομένους τοῖς ἀποστεροῦσιν αὐτῶν τῶν ἀδικουμένων, καὶ νομίζοντας διὰ τοὺς ἄπιστα τὰ συμβόλαια ποιοῦντας, μείζω βλάπτεσθαι τοὺς πένητας τῶν πολλὰ κεκτημένων· τοὺς μὲν γὰρ[61], ἢν παύσωνται προϊέμενοι, μικρῶν προσόδων ἀποστερηθήσεσθαι· τοὺς δ', ἢν ἀπορήσωσι τῶν ἐπαρκούντων, εἰς τὴν ἐσχάτην ἔνδειαν καταστήσεσθαι. Καὶ γάρ τοι διὰ τὴν γνώμην ταύτην οὐδεὶς οὔτε ἀπεκρύπτετο τὴν οὐσίαν, οὔτ' ὤκνει συμβάλλειν[62]· ἀλλ' ἥδιον ἑώρων τοὺς δανειζομένους, ἢ τοὺς ἀποδιδόντας. Ἀμφότερα γὰρ αὐτοῖς συνέβαινεν, ἅπερ ἂν βουληθεῖεν ἄνθρωποι νοῦν ἔχοντες· ἅμα γὰρ τούς τε πολίτας ὠφέλουν, καὶ τὰ σφέτερ' αὐτῶν ἐνεργὰ καθίστασιν. Κεφάλαιον δὲ τοῦ καλῶς ἀλλήλοις ὁμιλεῖν[63]· αἱ μὲν γὰρ κτήσεις ἀσφαλεῖς ἦσαν, οἷς περ[64] κατὰ τὸ δίκαιον ὑπῆρχον· αἱ δὲ χρήσεις κοιναὶ πᾶσι τοῖς δεομένοις τῶν πολιτῶν.

Ἴσως ἂν οὖν τις ἐπιτιμήσειε τοῖς εἰρημένοις, ὅτι τὰς μὲν πράξεις ἐπαινῶ τὰς ἐν ἐκείνοις τοῖς χρόνοις γεγενημένας, τὰς δ' αἰτίας οὐ φράζω, δι' ἃς οὕτω καλῶς καὶ τὰ πρὸς σφᾶς αὐτοὺς εἶχον, καὶ τὴν πόλιν διῴκουν. Ἐγὼ δ' οἶμαι μὲν εἰρηκέναι τι καὶ τοιοῦτον[65], οὐ μὴν ἀλλ' ἔτι πλείω καὶ σαφέστερον πειράσομαι διαλεχθῆναι περὶ αὐτῶν.

Ἐκεῖνοι γὰρ οὐκ ἐν μὲν ταῖς παιδείαις[66] πολλοὺς τοὺς ἐπιστατοῦντας εἶχον, ἐπειδὴ δ' εἰς ἄνδρας δοκιμασθεῖεν, ἐξῆν αὐτοῖς ποιεῖν ὅ,τι βουληθεῖεν· ἀλλ' ἐν αὐταῖς ταῖς ἀκμαῖς πλείονος ἐπιμελείας ἐτύγχανον, ἢ παῖδες ὄντες. Οὕτω γὰρ οἱ πρόγονοι ἡμῶν σφόδρα περὶ τὴν σωφροσύνην ἐσπούδαζον, ὥστε τὴν ἐξ Ἀρείου πάγου βουλὴν ἐπέστησαν ἐπιμελεῖσθαι τῆς εὐκοσμίας, ἧς[67] οὐχ οἷόν τ' ἦν μετασχεῖν, πλὴν τοῖς καλῶς γεγονόσι, καὶ πολλὴν ἀρετὴν ἐν τῷ βίῳ καὶ σωφροσύνην ἐνδεδειγμένοις, ὥστ' εἰκότως αὐτὴν διενεγκεῖν τῶν ἐν τοῖς Ἕλλησι συνεδρίων.

Σημείοις δ' ἄν τις χρήσαιτο περὶ τῶν τότε καθεστώτων καὶ τοῖς ἐν τῷ παρόντι γιγνομένοις· ἔτι γὰρ καὶ νῦν ἁπάντων τῶν περὶ τὴν αἵρεσιν καὶ τὴν δοκιμασίαν ταύτην καθημένων[68], ἴδοιμεν ἂν τοὺς ἐν τοῖς ἄλλοις πράγμασιν οὐκ ἀνεκτοὺς ὄντας, ἐπειδὰν εἰς Ἄρειον πάγον ἀναβῶσιν[69], ὀκνοῦντας τῇ φύσει χρῆσθαι[70], καὶ μᾶλλον τοῖς ἐκεῖ νομίμοις ἢ ταῖς αὑτῶν κακίαις ἐμμένοντας. Τοσοῦτον ἐκεῖνοι φόβον τοῖς πονηροῖς ἐνειργάσαντο, καὶ τοιοῦτον μνημεῖον ἐν τῷ τόπῳ[71] τῆς αὑτῶν ἀρετῆς καὶ σωφροσύνης ἐγκατέλιπον.

Τὴν δὴ τοιαύτην[72], ὥσπερ εἶπον, κυρίαν ἐποίησαν τῆς εὐταξίας ἐπιμε-

---

[61]) Πολλὰ κεκτημένους· τὸ σχῆμα Χιαστόν. [62]) Δανείζειν. [63]) ('Εντ.) ἔστι τοῦτο, ὅτι ἡ μὲν κτῆσις κτλ. [64]) Ἐκείνοις οἷς ὑπῆρχον, τοῖς κεκτημένοις αὐτάς. [65]) Ἐν σελ. ἀνωτέρω σελ. 176, εἶπεν· Αἴτιον εἶναι τοῦ ταῦτα κτλ., ὅτι μεμαθηκότες ἦσαν ἐργάζεσθαι καὶ φείδεσθαι κτλ. [66]) Ταῖς ἀνατροφαῖς τῶν παίδων. [67]) Τῆς ἐξ Ἀρείου Πάγου βουλῆς. [68]) Ὁ Οὐόλφιος διορθοῖ Καθισταμένων, παρουσιαζομένων ἵνα δοκιμασθέντες αἱρεθῶσιν Ἀρεοπαγῖται. [69]) Ἐγκατασταθῶσι· τὸ δὲ ἀναβῶσι διὰ τὴν ἐπὶ λόφου (ὕψους) θέσιν τοῦ Ἀρείου πάγου. [70]) Συστελλομένους χρῆσθαι τῇ φυσικῇ αὐτῶν μοχθηρίᾳ.
[71]) Τῷ τοῦ Ἀρείου Πάγου. [72]) Βουλὴν ἢ Ἀρχήν.

λεῖσθαι, εἰ τοὺς μὲν οἰομένους ἐνταῦθα[74] βελτίστους ἄνδρας γίγνεσθαι, παρ' οἷς οἱ νόμοι μετὰ πλείστης ἀκριβείας κείμενοι τυγχάνουσιν, ἀγνοεῖν[75] ἐνόμιζον· οὐδὲν γὰρ ἂν[76] κωλύειν ὁμοίους ἅπαντας εἶναι τοὺς Ἕλληνας, ἕνεκά γε τοῦ ῥᾴδιον εἶναι τὰ γράμματα[77] λαβεῖν παρ' ἀλλήλων. Ἀλλὰ γὰρ οὐκ ἐκ τούτων[78] τὴν ἐπίδοσιν εἶναι[79] τῆς ἀρετῆς, ἀλλ' ἐκ τῶν καθ' ἑκάστην τὴν ἡμέραν ἐπιτηδευμάτων· τοὺς γὰρ πολλοὺς ὁμοίους τοῖς ἤθεσιν ἀποβαίνειν, ἐν οἷς ἂν ἕκαστοι παιδευθῶσιν. Ἐπεὶ τά γε πλήθη καὶ τὰς ἀκριβείας τῶν νόμων σημεῖον εἶναι τοῦ κακῶς οἰκεῖσθαι τὴν πόλιν ταύτην[80]· ἐμφράγματα γὰρ αὐτοὺς ποιουμένους τῶν ἁμαρτημάτων, πολλοὺς τίθεσθαι τοὺς νόμους ἀναγκάζεσθαι. Δεῖν[81] δὲ τοὺς ὀρθῶς πολιτευομένους οὐ τὰς στοὰς ἐμπιπλάναι γραμμάτων[82], ἀλλ' ἐν ταῖς ψυχαῖς ἔχειν τὸ δίκαιον· οὐ γὰρ τοῖς ψηφίσμασιν, ἀλλὰ τοῖς ἤθεσι καλῶς οἰκεῖσθαι[83] τὰς πόλεις, καὶ τοὺς μὲν κακῶς τεθραμμένους, καὶ τοὺς ἀκριβῶς τῶν νόμων ἀναγεγραμμένους τολμήσειν παραβαίνειν, τοὺς δὲ καλῶς πεπαιδευμένους, καὶ τοῖς ἁπλῶς κειμένοις ἐθελήσειν ἐμμένειν. Ταῦτα διανοηθέντες, οὐ τοῦτο πρῶτον ἐσκόπουν, δι' ὧν κολάσουσι τοὺς ἀκοσμοῦντας, ἀλλ' ἐξ ὧν παρασκευάσουσι μηδὲν αὐτοὺς ἄξιον ζημίας βουλήσεσθαι ἐξαμαρτάνειν· ἡγοῦντο γὰρ τοῦτο μὲν αὑτῶν ἔργον εἶναι, τὸ δὲ περὶ τὰς τιμωρίας σπουδάζειν τοῖς ἐχθροῖς προσήκειν.

Ἁπάντων μὲν οὖν ἐφρόντιζον τῶν πολιτῶν, μάλιστα δὲ τῶν νεωτέρων. Ἑώρων γὰρ τοὺς τηλικούτους ταραχωδέστατα διακειμένους, καὶ πλείστων γέμοντας ἐπιθυμιῶν, καὶ τὰς ψυχὰς αὐτῶν μάλιστα παιδευθῆναι δεομένας ἐπιθυμίαις καλῶν ἐπιτηδευμάτων, καὶ πόνοις ἡδονὰς ἔχουσιν· ἐν μόνοις γὰρ ἂν τούτοις ἐμμεῖναι τοὺς ἐλευθέρως τεθραμμένους, καὶ μεγαλοφρονεῖν εἰθισμένους. Ἅπαντας μὲν οὖν ἐπὶ τὰς αὐτὰς ἄγειν διατριβὰς[84] οὐχ οἷόν τ' ἦν, ἀνωμάλως τὰ περὶ τὸν βίον[85] ἔχοντας· ὡς δὲ πρὸς τὴν οὐσίαν ἥρμοττεν, οὕτως ἑκάστοις προσέταττον. Τοὺς μὲν γὰρ ὑποδεέστερον πράττοντας ἐπὶ τὰς γεωργίας καὶ τὰς ἐμπορίας ἔτρεπον, εἰδότες τὰς μὲν ἀπορίας διὰ τὰς ἀργίας γιγνομένας, τὰς δὲ κακουργίας διὰ τὰς ἀπορίας· ἀναιροῦντες οὖν τὴν ἀρχὴν τῶν κακῶν, ἀπαλλάξειν ᾤοντο καὶ τῶν ἄλλων ἁμαρτημάτων τῶν μετ' ἐκείνην[86] γιγνομένων. Τοὺς δὲ βίον ἱκανὸν κεκτημένους περὶ τὴν ἱππικὴν καὶ τὰ γυμνάσια καὶ τὰ κυνηγέσια καὶ τὴν φιλοσοφίαν ἠνάγκασαν διατρίβειν, ὁρῶντες ἐκ τούτων τοὺς μὲν διαφέροντας[87] γιγνομένους, τοὺς δὲ τῶν πλείστων κακῶν ἀπεχομένους.

Καὶ ταῦτα νομοθετήσαντες, οὐδὲ τὸν λοιπὸν χρόνον ὠλιγώρουν· ἀλλὰ διελόμενοι τὴν μὲν πόλιν κατὰ κώμας[88], τὴν δὲ χώραν κατὰ δήμους, ἐθεώρουν τὸν βίον τὸν ἑκάστου, καὶ τοὺς ἀκοσμοῦντας ἀνῆγον εἰς τὴν βουλήν

73) Οἱ ἐκ τῆς ἐν Ἀρείῳ Πάγῳ βουλῆς. 74) Ἐν ἐκείναις ταῖς πόλεσι. 75) Λανθάνεσθαι. 76) Ἐὰν ἦτον ταῦτα. 77) Τοὺς γεγραμμένους νόμους. 78) Τῶν νόμων. 79) Ἐνόμιζον εἶναι. 80) Αὐτὴν, κατὰ τὸν Κορ. 81) Ἐνόμιζον δεῖν. 82) Οἱ νόμοι ἀνεγράφοντο ἐπὶ πλακῶν εἰς τὰς δημοσίους στοὰς, ἐν αἷς διέτριβον οἱ παλαιοί. 83) Καὶ τοῦτο τὸ ἀπαρέμφατον, καθὼς καὶ τὰ ἐπίλοιπα, ἀπὸ κοινοῦ εἰς τὸ Ἐνόμιζον. 84) Ἐπιτηδεύματα, καταστήματα. 85) Τὰ κατὰ [illegible], τὴν περιουσίαν. 86) Ἐκείνων, κατὰ τὴν ἔκδ. τοῦ Κοραῆ. 87) Πάντων διαφέροντας, ἐξόχως ἀρίστους. 88) Συνοικίας, (βαρβ.) μαχαλάδες.

Ἣ δὲ τοὺς μὲν ἐνουθέτει, τοῖς δ' ἠπείλει, τοὺς δ' ὡς προσῆκεν ἐκόλαζεν. Ἠπίσταντο γάρ, ὅτι δύο τρόποι τυγχάνουσιν ὄντες, οἳ καὶ προτρέποντες ἐπὶ τὰς ἀδικίας, καὶ παύοντες τῶν πονηριῶν· παρ' οἷς μὲν γὰρ μήτε φυλακὴ μήτε ζημία τῶν τοιούτων καθέστηκε, μήθ' αἱ κρίσεις ἀκριβεῖς εἰσι, παρὰ τούτοις μὲν διαφθείρεσθαι καὶ τὰς ἐπιεικεῖς τῶν φύσεων· ὅπου δὲ μήτε λαθεῖν τοῖς ἀδικοῦσι ῥᾴδιόν ἐστι, μήτε φανεροῖς γενομένοις συγγνώμης τυχεῖν, ἐνταῦθα δ' ἐξιτήλους γίγνεσθαι τὰς κακοηθείας. Ἅπερ ἐκεῖνοι γιγνώσκοντες, ἀμφοτέροις κατεῖχον τοὺς πολίτας, καὶ ταῖς τιμωρίαις καὶ ταῖς ἐπιμελείαις. Τοσούτου γὰρ ἔδεον αὐτοὺς λανθάνειν οἱ κακόν τι δεδρακότες, ὥστε καὶ τοὺς ἐπιδόξους ἁμαρτήσεσθαί τι προῃσθάνοντο. Τοιγαροῦν οὐκ ἐν τοῖς σκιραφίοις[87] οἱ νεώτεροι διέτριβον, οὐδ' ἐν ταῖς αὐλητρίσιν, οὐδ' ἐν τοῖς τοιούτοις συλλόγοις, ἐν οἷς νῦν διημερεύουσιν· ἀλλ' ἐν τοῖς ἐπιτηδεύμασιν ἔμενον, ἐν οἷς ἐτάχθησαν, θαυμάζοντες καὶ ζηλοῦντες τοὺς ἐν τούτοις πρωτεύοντας. Οὕτω δὲ ἔφευγον τὴν ἀγοράν, ὥστ' εἰ καί ποτε διελθεῖν ἀναγκασθεῖεν, μετὰ πολλῆς αἰδοῦς καὶ σωφροσύνης ἐφαίνοντο τοῦτο ποιοῦντες. Ἀντειπεῖν δὲ τοῖς πρεσβυτέροις, ἢ λοιδορήσασθαι, δεινότερον ἐνόμιζον, ἢ νῦν περὶ τοὺς γονέας ἐξαμαρτεῖν. Ἐν καπηλείῳ δὲ φαγεῖν ἢ ποιεῖν οὐδεὶς οὐδ' ἂν οἰκέτης ἐπιεικὴς ἐτόλμησε[88]· σεμνύνεσθαι γὰρ ἐμελέτων, ἀλλ' οὐ βωμολοχεύεσθαι. Καὶ τοὺς εὐτραπέλους δὲ, καὶ τοὺς σκώπτειν δυναμένους, οὓς νῦν εὐφυεῖς προσαγορεύουσιν, ἐκεῖνοι δυστυχεῖς[89] ἐνόμιζον.

Καὶ μηδεὶς οἰέσθω με δυσκόλως διακεῖσθαι πρὸς τοὺς ταύτην ἔχοντας τὴν ἡλικίαν. Οὔτε γὰρ ἡγοῦμαι τούτους αἰτίους εἶναι τῶν γιγνομένων, σύνοιδά τε τοῖς πλείστοις αὐτῶν ἥκιστα χαίρουσι ταύτῃ τῇ καταστάσει, δι' ἣν ἔξεστιν αὐτοῖς ἐν ταῖς ἀκολασίαις ταύταις διατρίβειν· ὥστ' οὐκ ἂν εἰκότως τούτοις ἐπιτιμῴην, ἀλλὰ πολὺ ἂν δικαιότερον τοῖς ὀλίγῳ πρὸ ἡμῶν τὴν πόλιν διοικήσασιν. Ἐκεῖνοι γὰρ ἦσαν οἱ προτρέψαντες ἐπὶ ταύτας τὰς ὀλιγωρίας, καὶ καταλύσαντες τὴν τῆς βουλῆς[90] δύναμιν.

Ἧς ἐπιστατούσης, οὐ δικῶν, οὐδ' ἐγκλημάτων, οὐδ' εἰσφορῶν, οὐδὲ πενίας, οὐδὲ πολέμων ἡ πόλις ἔγεμεν· ἀλλὰ καὶ πρὸς ἀλλήλους ἡσυχίαν εἶχον, καὶ πρὸς τοὺς ἄλλους ἅπαντας εἰρήνην ἦγον. Παρεῖχον γὰρ σφᾶς αὐτοὺς τοῖς μὲν Ἕλλησι πιστούς, τοῖς δὲ βαρβάροις φοβερούς· τοὺς μὲν γὰρ σεσωκότες ἦσαν, παρὰ δὲ τῶν δίκην τηλικαύτην εἰληφότες, ὥστ' ἀγαπᾶν ἐκείνους, εἰ μηδὲν ἔτι κακὸν πάσχοιεν. Τοιγάρτοι διὰ ταῦτα[91] μετὰ τοσαύτης ἀσφαλείας διῆγον, ὥστε καλλίους εἶναι καὶ πολυτελεστέρας τὰς οἰκήσεις καὶ τὰς κατασκευὰς[92] τὰς ἐπὶ τῶν ἀγρῶν, ἢ τὰς ἐντὸς τείχους, καὶ πολλοὺς τῶν πολιτῶν μηδ' εἰς τὰς ἑορτὰς εἰς ἄστυ καταβαίνειν, ἀλλ' αἱρεῖσθαι μένειν ἐπὶ τοῖς ἰδίοις ἀγαθοῖς[93] μᾶλλον, ἢ τῶν κοινῶν ἀπολαύειν. Οὐδὲ γὰρ τὰ περὶ τὰς θεωρίας, ὧν ἕνεκ' ἄν τις ἦλθεν, ἀσελγῶς, οὐδ' ὑπερ-

---

87) Κυβευτηρίοις. 88) Ὅθεν καὶ ὁ Διογένης κατηγορεῖτο, λέγει ὁ Πλούταρχος, ὅτι ἐν καπηλείῳ ἔφαγεν. Ἀλλ' ἐκεῖνος μὲν ἀπεκρίθη κυνικώτερον· Ἐν καπηλείῳ γὰρ καὶ ἐπείνασα. Ὁ δὲ κοσμιώτατος Ἰσοκράτης ἔχει μέγα δίκαιον νὰ παραινῇ τοὺς νέους νὰ μὴ πλησιάζουν εἰς τοιαῦτα μέρη. 89) Ἠλιθίους, μωρούς. 90) Τῆς ἐξ Ἀρείου Πάγου. 91) Ὁ Κοραῆς διέγραφε τὸ διὰ ταῦτα, ὡς περιττὸν μετὰ τὸ Τοιγάρτοι. 92) Τὰ ἔπιπλα. 93) Κτήμασι.

ρηφάνως, ἀλλὰ νουνεχόντως ἐποίουν. Οὐ γὰρ ἐκ τῶν πομπῶν, οὐδ' ἐκ τῶν
περὶ τὰς χορηγίας φιλονεικιῶν, οὐδ' ἐκ τῶν τοιούτων ἀλαζονειῶν τὴν εὐδαι
μονίαν ἐδοκίμαζον, ἀλλ' ἐκ τοῦ σωφρόνως οἰκεῖν, καὶ τοῦ βίου τοῦ καθ' ἡ
μέραν, καὶ τοῦ μηδένα τῶν πολιτῶν ἀπορεῖν τῶν ἐπιτηδείων. Ἐξ ὧνπε
χρὴ κρίνειν τοὺς ὡς ἀληθῶς εὖ πράττοντας καὶ μὴ φορτικῶς[96] πολιτευομέ
νους· ἐπεὶ νῦν γε τίς οὐκ ἂν ἐπὶ τοῖς γιγνομένοις τῶν εὖ φρονούντων ἀλγή
σειεν, ὅταν ἴδῃ πολλοὺς τῶν πολιτῶν αὐτοὺς μὲν περὶ τῶν ἀναγκαίων
εἴθ' ἕξουσιν εἴτε μὴ πρὸ τῶν δικαστηρίων κληρουμένους[97], τῶν δ' Ἑλλήνων[98]
τοὺς ἐλαύνειν τὰς ναῦς βουλομένους τρέφειν ἀξιοῦντας, καὶ χορεύοντας μὲ
ἐν χρυσοῖς ἱματίοις, χειμάζοντας[99] δ' ἐν τοιούτοις ἐν οἷς οὐ βούλομαι λέ
γειν[100], καὶ τοιαύτας ἄλλας ἐναντιώσεις[101] περὶ τὴν διοίκησιν γιγνομένας
αἳ μεγάλην αἰσχύνην τῇ πόλει ποιοῦσιν.
Ὧν οὐδὲν ἦν ἐπ' ἐκείνης τῆς βουλῆς· ἀπήλλαξε γὰρ τοὺς μὲν πένητας
τῶν ἀποριῶν ταῖς ἐργασίαις καὶ ταῖς παρὰ τῶν ἐχόντων ὠφελείαις, τοὺς
δὲ νεωτέρους τῶν ἀκολασιῶν τοῖς ἐπιτηδεύμασι καὶ ταῖς αὑτῶν ἐπιμελείαις,
τοὺς δὲ πολιτευομένους τῶν πλεονεξιῶν ταῖς τιμωρίαις καὶ τῷ μὴ λανθά-
νειν τοὺς ἀδικοῦντας, τοὺς δὲ πρεσβυτέρους τῶν ἀθυμιῶν ταῖς τιμαῖς ταῖς
πολιτικαῖς καὶ ταῖς παρὰ τῶν νεωτέρων θεραπείαις. Καί τοι πῶς ἂν γέ-
νοιτο ταύτης πλείονος ἀξία πολιτεία, τῆς οὕτω καλῶς ἁπάντων τῶν πραγ-
μάτων ἐπιμεληθείσης;
Περὶ μὲν οὖν τῶν ποτὲ[102] καθεστώτων, τὰ μὲν πλεῖστα διεληλύθαμεν·
ὅσα δὲ παραλελοίπαμεν ἐκ τῶν εἰρημένων, ὅτι κἀκεῖνα τὸν αὐτὸν τρόπον
εἶχε τούτοις, ῥᾴδιόν ἐστι καταμαθεῖν[103].
Ἤδη δέ τινες, ἀκούσαντές μου ταῦτα διεξιόντος[104], ἐπῄνεσαν μὲν ὡς οἷόν
τε μάλιστα, καὶ τοὺς προγόνους ἐμακάρισαν, ὅτι τὸν τρόπον τοῦτον τὴν
πόλιν διῴκουν, οὐ μὴν ὑμᾶς γε ᾤοντο πεισθήσεσθαι χρῆσθαι[105] τούτοις,
ἀλλ' αἱρήσεσθαι διὰ τὴν συνήθειαν ἐν τοῖς καθεστηκόσι πράγμασι κακοπα-
θεῖν μᾶλλον, ἢ μετὰ πολιτείας ἀκριβεστέρας ἄμεινον τὸν βίον διάγειν. Εἶναι
δ' ἔφασαν ἐμοὶ καὶ κίνδυνον, μὴ τὰ βέλτιστα συμβουλεύων, μισόδημος εἶ-
ναι δόξω, καὶ τὴν πόλιν ζητεῖν εἰς ὀλιγαρχίαν ἐμβαλεῖν.
Ἐγὼ δ' εἰ μὲν περὶ πραγμάτων ἀγνοουμένων καὶ μὴ κοινῶν τοὺς λό-
γους ἐποιούμην, καὶ περὶ τούτων ἐκέλευον ὑμᾶς ἑλέσθαι συνέδρους ἢ συγ-
γραφέας[106], δι' ὧν ὁ δῆμος κατελύθη τὸ πρότερον, εἰκότως ἂν εἶχον τὴν
αἰτίαν ταύτην· νῦν δ' οὐδὲν εἴρηκα τοιοῦτον, ἀλλὰ διείλεγμαι περὶ διοική

---

96) Ἀλαζονικῶς. 97) Διὰ λαχνοῦ διωρίζοντο οἱ δικασταὶ τῶν Ἀθήνησι δέκα δικαστηρίων καὶ ἐλάμβανον οἱ κληρούμενοι μισθὸν τριώβολον. 98) Ὁ Κοραῆς μεταβάλλων τὸ Ἑλλή[νων] εἰς ἄλλων παρήνει, ἢ γοῦν προσθεῖναι τοῦτο πρὸ ἐκείνου· ἡ δὲ ἔννοια ἐστιν αὕτη· αὐ[τοὶ] μὲν οἱ πολῖται κληροῦνται πρὸ τῶν δικαστηρίων, ὥστε ἢ ἔχειν ἀπὸ τοῦ τριωβόλου τ[ὸ] πρὸς τὸ ζῆν, ἢ ἀπολαχόντες λιμώττειν· ἀξιοῦσι δὲ μισθοδοτεῖν ἄλλους Ἕλληνας ὡς ἐρέ[τας] τῶν ἰδίων νεῶν, ἐξὸν, αὐτοὺς ἐμβάντας, καθὼς ἔλεγε καὶ ὁ Δημοσθένης, ἀποφέρε[σ]θαι τὴν μισθοφορὰν ταύτην. 99) Διάγοντας τὸν χειμῶνα. 100) Ἀποσιωπᾷ, διὰ τὸ εὐπρεπ[έστε]ρον, τὰ ῥάκη. 101) Ἀντιφάσεις, (Γαλλ.) contrastes ἢ contre-sens. 102) Ἐν ἄλλοις ἀρχαιότερον, Τότε. 103) Ῥᾴδιον δὲ ἐστι καταμαθεῖν ὅτι κἀκεῖνα, ὅσα παραλελ., τὸν αὐτὸν τούτοις τρόπον εἶχε· προσθέτερον. 104) Πρὶν δηλονότι τὰ εἴπῃ δημοσίᾳ. 105) Ὥστε χρῆσθαι. 106) Τοὺς προβληθέντας ὑπὸ Πεισάνδρου, περὶ οὗ ἴδε τὸν Θουκ. Η', ξζ'.

σεως οὐκ ἀποκεκρυμμένης, ἀλλὰ πᾶσι φανερᾶς, ἣν πάντες ἴστε καὶ πατρίαν ἡμῖν οὖσαν, καὶ πλείστων ἀγαθῶν καὶ τῇ πόλει καὶ τοῖς ἄλλοις Ἕλλησιν αἰτίαν γεγενημένην, πρὸς δὲ τούτοις ὑπὸ τοιούτων ἀνδρῶν νομοθετηθεῖσαν καὶ καταστᾶσαν, ὧν οὐδεὶς ὅστις οὐκ ἂν ὁμολογήσειε δημοτικωτάτους γεγενῆσθαι τῶν πολιτῶν. Ὥστε πάντων ἂν μοι συμβαίη δεινότατον, εἰ τοιαύτην πολιτείαν εἰσηγούμενος, νεωτέρων δόξαιμι πραγμάτων ἐπιθυμεῖν. Ἔπειτα κἀκεῖθεν[107] ῥᾴδιον γνῶναι τὴν ἐμὴν διάνοιαν· ἐν γὰρ τοῖς πλείστοις τῶν λόγων τῶν εἰρημένων ὑπ' ἐμοῦ φανήσομαι ταῖς μὲν ὀλιγαρχίαις καὶ ταῖς πλεονεξίαις ἐπιτιμῶν, τὰς δ' ἰσότητας καὶ τὰς δημοκρατίας ἐπαινῶν, οὐ πάσας, ἀλλὰ τὰς καλῶς καθεστηκυίας, οὐδ' ὡς ἔτυχον[108], ἀλλὰ δικαίως, καὶ λογονεχόντως[109]. Οἶδα γὰρ τούς τε προγόνους τοὺς ἡμετέρους ἐν ταύτῃ τῇ καταστάσει[110] πολὺ τῶν ἄλλων διενεγκόντας, καὶ Λακεδαιμονίους διὰ τοῦτο κάλλιστα πολιτευομένους, ὅτι μάλιστα δημοκρατούμενοι τυγχάνουσιν. Ἐν γὰρ τῇ τῶν ἀρχῶν αἱρέσει, καὶ τῷ βίῳ τῷ καθ' ἡμέραν, καὶ τοῖς ἄλλοις ἐπιτηδεύμασιν ἴδοιμεν ἂν παρ' αὐτοῖς τὰς ἰσότητας καὶ τὰς ὁμοιότητας μᾶλλον, ἢ παρὰ τοῖς ἄλλοις ἰσχυούσας· αἷς[111] αἱ μὲν ὀλιγαρχίαι πολεμοῦσιν, οἱ δὲ καλῶς δημοκρατούμενοι χρώμενοι διατελοῦσιν.

Τῶν τοίνυν ἄλλων πόλεων ταῖς ἐπιφανεστάταις καὶ μεγίσταις, ἢν ἐξετάζειν βουληθῶμεν, εὑρήσομεν τὰς δημοκρατίας μᾶλλον ἢ τὰς ὀλιγαρχίας συμφερούσας· ἐπεὶ καὶ τὴν ἡμετέραν πολιτείαν, ᾗ πάντες ἐπιτιμῶσιν, ἢν παραβάλωμεν αὐτὴν[112] μὴ πρὸς τὴν ὑπ' ἐμοῦ ῥηθεῖσαν, ἀλλὰ πρὸς τὴν ὑπὸ τῶν τριάκοντα καταστᾶσαν, οὐδεὶς ὅστις οὐκ ἂν θεοποίητον εἶναι νομίσειεν.

Βούλομαι δ', εἰ καὶ τινές με φήσουσιν ἔξω τῆς ὑποθέσεως λέγειν, δηλῶσαι καὶ διελθεῖν ὅσον αὕτη τῆς τότε διήνεγκεν, ἵνα μηδεὶς οἴηταί με τὰ μὲν ἁμαρτήματα τοῦ δήμου λίαν ἀκριβῶς ἐξετάζειν, εἰ δέ τι καλὸν ἢ σεμνὸν διαπέπρακται, ταῦτα δὲ παραλείπειν. Ἔσται δ' ὁ λόγος οὔτε μακρὸς, οὔτε ἀνωφελὴς τοῖς ἀκούουσιν.

Ἐπειδὴ γὰρ τὰς ναῦς τὰς περὶ Ἑλλήσποντον ἀπωλέσαμεν, καὶ ταῖς συμφοραῖς ἐκείναις[113] ἡ πόλις περιέπεσε, τίς οὐκ οἶδε τῶν πρεσβυτέρων τοὺς μὲν δημοτικοὺς καλουμένους ἑτοίμους ὄντας ὁτιοῦν πάσχειν ὑπὲρ τοῦ μὴ ποιεῖν τὸ προσταττόμενον, καὶ δεινὸν ἡγουμένους, εἴ τις ὄψεται τὴν πόλιν τὴν τῶν Ἑλλήνων ἄρξασαν, ταύτην ὑφ' ἑτέροις οὖσαν, τοὺς δὲ τῆς ὀλιγαρχίας ἐπιθυμήσαντας ἑτοίμως καὶ τὰ τείχη καθαιροῦντας, καὶ τὴν δουλείαν ὑπομένοντας; καὶ τότε μὲν, ὅτε τὸ πλῆθος ἦν κύριον τῶν πραγμάτων, ἡμᾶς τὰς τῶν ἄλλων ἀκροπόλεις φρουροῦντας, ἐπειδὴ δ' οἱ τριάκοντα παρέλαβον τὴν πολιτείαν, τοὺς πολεμίους τὴν ἡμετέραν[114] ἔχοντας; καὶ κατὰ μὲν ἐκεῖνον τὸν χρόνον δεσπότας ἡμῶν ὄντας Λακεδαιμονίους, ἐπειδὴ δ' οἱ φεύγοντες[115] κατελθόντες πολεμεῖν ὑπὲρ τῆς ἐλευθερίας ἐτόλμησαν, καὶ Κόνων ναυμαχῶν ἐνίκησε[115a], πρέσβεις ἐλθόντας παρ' αὐτῶν, καὶ

---

107) Ἀπὸ τῶν ἑξῆς. 108) Ἐγώ. 109) Νουνεχόντως, κατὰ τὴν ἔκδοσιν τοῦ Κοραῆ.
110) Τῶν πραγμάτων, τῷ πολιτεύματι. 111) Ἐπιτηδεύμασιν. 112) Ὁ Κοραῆς ἐπροτίμησε τὸ Ταύτην. 113) Ἴδε Ξενοφ. Ἱστορ. 114) Ἀκρόπολιν, ὅπου εἰσήχθη φρουρὰ Λακεδαιμονίων. 115) Οἱ μετὰ Θρασυβούλου. 115a) Τοὺς Λακεδαιμονίους, ἐν Κνίδῳ τῆς Καρίας.

Ε.Υ. Δ.Π. ΕΠΕΑΕΚ τ.Π ΙΩΑΝΝΙΝΑ 2006

διδόντας τῇ πόλει τὴν ἀρχὴν τὴν τῆς θαλάττης; Καὶ μὲν δὴ καὶ τάδε τίς
οὐ μνημονεύει τῶν ἡλικιωτῶν τῶν ἐμῶν[116], τὴν μὲν δημοκρατίαν οὕτω κο-
σμήσασαν τὴν πόλιν καὶ τοῖς ἱεροῖς καὶ τοῖς ὁσίοις[117], ὥστ' ἔτι καὶ νῦν τοὺς
ἀφικνουμένους νομίζειν αὐτὴν ἀξίαν εἶναι μὴ μόνον τῶν Ἑλλήνων ἄρχειν,
ἀλλὰ καὶ τῶν ἄλλων ἁπάντων, τοὺς δὲ τριάκοντα τῶν μὲν[118] ἀμελήσαντας,
τὰ δὲ[119] συλήσαντας, τοὺς δὲ νεωσοίκους ἐπὶ καθαιρέσει[120] τριῶν ταλάντων
ἀποδομένους, εἰς οὓς ἡ πόλις ἀνήλωσεν οὐκ ἔλαττω χιλίων ταλάντων;
Ἀλλὰ μὴν οὐδὲ τὴν πρᾳότητα[121] δικαίως ἄν τις ἐπαινέσειε τὴν ἐκείνων[122]
μᾶλλον, ἢ τὴν τοῦ δήμου. Οἱ μὲν γάρ, ψηφίσματι παραλαβόντες τὴν πόλιν,
πεντακοσίους μὲν καὶ χιλίους τῶν πολιτῶν ἀκρίτους ἀπέκτειναν, εἰς δὲ
τὸν Πειραιᾶ φυγεῖν πλείους ἢ πεντακισχιλίους ἠνάγκασαν. οἱ δὲ[123], κρατή-
σαντες καὶ μεθ' ὅπλων κατιόντες, αὐτοὺς τοὺς αἰτιωτάτους τῶν κακῶν ἀνε-
λόντες, οὕτω τὰ πρὸς τοὺς ἄλλους καλῶς καὶ νομίμως διῴκησαν, ὥστε
μηδὲν ἔλαττον ἔχειν τοὺς ἐκβαλόντας τῶν κατελθόντων.

Ὃ δὲ πάντων κάλλιστον καὶ μέγιστον τεκμήριον τῆς ἐπιεικείας τοῦ δή-
μου· δανεισαμένων γὰρ τῶν ἐν ἄστει μεινάντων ἑκατὸν τάλαντα παρὰ Λα-
κεδαιμονίων, εἰς τὴν πολιορκίαν τῶν τὸν Πειραιᾶ κατασχόντων, ἐκκλησίας
γενομένης περὶ ἀποδόσεως τῶν χρημάτων, καὶ λεγόντων πολλῶν, ὡς δί-
καιόν ἐστι διαλύειν τὰ πρὸς Λακεδαιμονίους, μὴ τοὺς πολιορκουμένους, ἀλλὰ
τοὺς δανεισαμένους, ἔδοξε τῷ δήμῳ κοινὴν ποιήσασθαι τὴν ἀπόδοσιν. Καὶ
γάρ τοι διὰ ταύτην τὴν γνώμην εἰς τοιαύτην ἡμᾶς ὁμόνοιαν κατέστησαν,
καὶ τοσοῦτον ἐπιδοῦναι τὴν πόλιν ἐποίησαν, ὥστε Λακεδαιμονίους, τοὺς ἐπὶ
τῆς ὀλιγαρχίας ὀλίγου δεῖν καθ' ἑκάστην τὴν ἡμέραν προστάττοντας ἡμῖν,
ἐλθεῖν ἐπὶ τῆς δημοκρατίας ἱκετεύσοντας καὶ δεησομένους μὴ περιιδεῖν αὐ-
τοὺς ἀναστάτους γενομένους[124]. Τὸ δ' οὖν κεφάλαιον τῆς ἑκατέρων διανοίας
τοιοῦτον ἦν· οἱ μὲν γὰρ ἠξίουν τῶν μὲν πολιτῶν ἄρχειν, τοῖς δὲ πολεμίοις
δουλεύειν, οἱ δὲ τῶν μὲν ἄλλων ἄρχειν, τοῖς δὲ πολίταις ἴσον ἔχειν.

Ταῦτα δὲ διῆλθον δυοῖν ἕνεκα, πρῶτον μὲν ἐμαυτὸν ἐπιδεῖξαι βουλόμενος
οὐκ ὀλιγαρχιῶν οὐδὲ πλεονεξιῶν, ἀλλὰ δικαίας καὶ κοσμίας ἐπιθυμοῦντα
πολιτείας, ἔπειτα τὰς δημοκρατίας τάς τε κακῶς καθεστηκυίας ἐλαττόνων
συμφορῶν αἰτίας γιγνομένας, τάς τε καλῶς πολιτευομένας προεχούσας τῷ
δικαιοτέρας εἶναι καὶ κοινοτέρας καὶ τοῖς χρωμένοις ἡδίους.

Τάχ' οὖν ἄν τις θαυμάσειε, τί βουλόμενος ἀντὶ τῆς πολιτείας τῆς οὕτω
πολλὰ καὶ καλὰ διαπεπραγμένης[125] ἑτέραν ἡμᾶς πείθω μεταλαβεῖν, καὶ τί-
νος ἕνεκα νῦν μὲν οὕτω καλῶς[126] ἐγκεκωμίακα τὴν δημοκρατίαν, ὅταν δὲ
τύχω, πάλιν μεταβαλὼν ἐπιτιμῶ, καὶ κατηγορῶ τῶν καθεστώτων;

---

δεκαέτη μετὰ τὴν ἐν Αἰγὸς ποταμοῖς ἧτταν τῶν Ἀθην., δηλ. τῷ 384 π. Χ. (Ὀλ. 96, γ'.)
[116]) Ἔγραψε λοιπὸν τὸν λόγον τοῦτον ὁ Ἰσοκράτης, ἤδη πρεσβύτερος τὴν ἡλικίαν καὶ γέ-
ρων. [117]) Τοῖς μὴ ἱεροῖς, ἀλλ' οὐχ ἧττον σεβαστοῖς καὶ καθιερωμένοις ἐξ ἔθους.
[118]) Τῶν ὁσίων. [119]) Ἱερά. [120]) Πρὸς καθαίρεσιν, ἵνα καθέλωσι (χαλάσωσιν) αὐτούς.
[121]) Κατ' εἰρωνείαν, ἀντὶ θηριωδίαν, ὡς ἐκ τῶν ἑξῆς δῆλον. [122]) Τῶν Τριάκοντα.
[123]) Οἱ δημοτικοί, οἱ μετὰ Θρασυβούλου. [124]) Ὑπὸ Θηβαίων. Ἴδε τὸν πρὸς Φίλιππον,
σελ. 115, 116. [125]) Τῆς δημοκρατίας. [126]) Σημειωτέον ὅτι ἐπαινεῖται μόνος του ὁ ῥήτωρ·
ἀλλὰ τοῦτο ἔπραξε καὶ ἀλλοῦ, ἢ μάλιστα εἰς τὸν Πανηγυρικόν, εἶχεν ὅμως ὅλα ὅσα λέγει
ὁ Πλούταρχος (Περὶ τοῦ ἑαυτὸν ἐπαινεῖν ἀνεπιφθόνως) ὅτι πρέπει νὰ ἔχῃ ὁ περιαυτολογῶν.

Ἐγὼ δὲ καὶ τῶν ἰδιωτῶν τοὺς ὀλίγα μὲν κατορθοῦντας, πολλὰ δ' ἐξαμαρτάνοντας μέμφομαι, καὶ νομίζω φαυλοτέρους εἶναι τοῦ δέοντος· καὶ πρός γε τούτοις τοὺς γεγονότας ἐκ καλῶν κἀγαθῶν ἀνδρῶν, καὶ μικρῷ μὲν ὄντας ἐπιεικεστέρους τῶν ὑπερβαλλόντων ταῖς πονηρίαις, πολὺ δὲ χείρους τῶν πατέρων, λοιδορῶ, καὶ συμβουλεύσαιμ' ἂν αὐτοῖς παύσασθαι τοιούτοις οὖσιν· τὴν αὐτὴν οὖν γνώμην ἔχω καὶ περὶ τῶν κοινῶν· ἡγοῦμαι γὰρ δεῖν ἡμᾶς οὐ μέγα φρονεῖν, οὐδ' ἀγαπᾶν, εἰ κακοδαιμονησάντων καὶ μανέντων ἀνθρώπων[127] νομιμώτεροι γεγόναμεν, ἀλλὰ πολὺ μᾶλλον ἀγανακτεῖν καὶ βαρέως φέρειν, εἰ χείρους τῶν προγόνων τυγχάνοιμεν ὄντες· πρὸς γὰρ τὴν ἐκείνων ἀρετήν, ἀλλ' οὐ πρὸς τὴν τῶν τριάκοντα πονηρίαν ἁμιλλητέον ἡμῖν ἐστιν, ἄλλως τε καὶ προσῆκον ἡμῖν βελτίστοις ἁπάντων ἀνθρώπων εἶναι.

Καὶ τοῦτον εἴρηκα τὸν λόγον[128] οὐ νῦν πρῶτον, ἀλλὰ πολλάκις ἤδη καὶ πρὸς πολλούς. Ἐπίσταμαι γὰρ ἐν μὲν τοῖς ἄλλοις τόποις φύσεις ἐγγιγνομένας καρπῶν καὶ δένδρων καὶ ζώων ἰδίας ἐν ἑκάστοις, καὶ πολὺ τῶν ἄλλων διαφερούσας, τὴν δ' ἡμετέραν χώραν ἄνδρας φέρειν καὶ τρέφειν δυναμένην, οὐ μόνον πρὸς τὰς τέχνας καὶ τὰς πράξεις καὶ τοὺς λόγους εὐφυεστάτους, ἀλλὰ καὶ πρὸς ἀνδρίαν καὶ πρὸς ἀρετὴν πολὺ διαφέροντας. Τεκμαίρεσθαι δὲ δίκαιόν ἐστι τοῖς τε παλαιοῖς ἀγῶσιν, οὓς ἐποιήσαντο πρὸς Ἀμαζόνας καὶ Θρᾷκας καὶ Πελοποννησίους ἅπαντας, καὶ τοῖς κινδύνοις τοῖς περὶ τὰ Περσικὰ γενομένοις, ἐν οἷς καὶ μόνοι καὶ μετὰ Πελοποννησίων, καὶ πεζομαχοῦντες καὶ ναυμαχοῦντες, νικήσαντες τοὺς βαρβάρους, ἀριστείων ἠξιώθησαν· ὧν οὐδὲν ἂν ἔπραξαν, εἰ μὴ πολὺ τὴν φύσιν διήνεγκαν.

Καὶ μηδεὶς οἰέσθω τὴν εὐλογίαν[129] ταύτην ἡμῖν προσήκειν τοῖς νῦν πολιτευομένοις, ἀλλὰ πολὺ τοὐναντίον. Εἰσὶ γὰρ οἱ τοιοῦτοι τῶν λόγων ἔπαινος μὲν τῶν ἀξίους σφᾶς αὐτοὺς τῆς τῶν προγόνων ἀρετῆς παρεχόντων, κατηγορία δὲ τῶν τὰς εὐγενείας ταῖς αὑτῶν ῥᾳθυμίαις καὶ κακίαις καταισχυνόντων[130], ὅπερ ἡμεῖς ποιοῦμεν· εἰρήσεται γὰρ τἀληθές. Τοιαύτης γὰρ ἡμῖν τῆς φύσεως ὑπαρχούσης, οὐ διεφυλάξαμεν αὐτήν, ἀλλ' ἐμπεπτώκαμεν εἰς ἄνοιαν καὶ ταραχὴν, καὶ πονηρῶν πραγμάτων ἐπιθυμίαν. Ἀλλὰ γάρ, ἂν ἐπακολουθῶ τοῖς ἐνοῦσιν[131] ἐπιτιμῆσαι καὶ κατηγορῆσαι τῶν ἐνεστώτων πραγμάτων, δέδοικα μὴ πόῤῥω λίαν τῆς ὑποθέσεως ἀποπλανηθῶ.

Περὶ μὲν οὖν τούτων καὶ πρότερον εἰρήκαμεν, καὶ πάλιν ἐροῦμεν, ἢν μὴ πείσωμεν ὑμᾶς παύσασθαι τοιαῦτα ἐξαμαρτάνοντας· περὶ δ' ὧν ἐξ ἀρχῆς τὸν λόγον κατεστησάμην, βραχέα διαλεχθείς, παραχωρῶ τοῖς βουλομένοις ἔτι συμβουλεύειν περὶ τούτων.

Ἡμεῖς γάρ[132], ἢν μὲν οὕτως οἰκῶμεν[133] τὴν πόλιν, ὥσπερ νῦν, οὐκ ἔστιν ὅπως οὐ καὶ βουλευσόμεθα καὶ πολεμήσομεν καὶ βιωσόμεθα καὶ σχεδὸν

---

127) Τῶν τριάκοντα. 128) Ὅτι προσῆκόν ἐστιν ἡμῖν βελτίστοις ἁπάντων εἶναι.
129) Τὸ ἐγκώμιον. 130) Ἂς ἐντυπώσωσι καλῶς εἰς τὸν νοῦν των τοὺς λόγους τούτους τοῦ ῥήτορος, καὶ πάντες μὲν ἁπλῶς οἱ Ἑλληνόπαιδες, ἰδίως δὲ οἱ ἔχοντες ἀξιώσεις πατραγαθίας, καὶ φέροντες ὀνόματα γονέων διαπρεψάντων ἐν τῷ ἀγῶνι. 131) Ὁ Κοραῆς προείλετο, Τοῖς νῦν οὖσιν· ἀλλ' ἡ διόρθωσις τοῦ Οὐόλφίου εἶναι πλησιεστέρα εἰς τὴν πρώτην ἀνάγνωσιν Τοῖς αἰνοῦσιν. 132) Ἀφηγηματικός. 133) Διοικῶμεν, πολιτευώμεθα.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΕΡΓΑΣΤΗΡΙΟ ... ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ... ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Επιμ. Λ. της Κ. τ. Π ΙΩΑΝΝΙΝΑ 2006

ἅπαντα καὶ πεισόμεθα καὶ πράξομεν, ἅπερ ἐν τῷ παρόντι καιρῷ καὶ τοῖς παρελθοῦσι χρόνοις· ἢν δὲ μεταβάλωμεν τὴν πολιτείαν, δῆλον ὅτι κατὰ τὸν αὐτὸν λόγον, οἷάπερ ἦν τοῖς προγόνοις τὰ πράγματα, τοιαῦτ' ἔσται καὶ περὶ ἡμᾶς· ἀνάγκη γὰρ ἐκ τῶν αὐτῶν πολιτευμάτων καὶ τὰς πράξεις ὁμοίας ἀεὶ καὶ παραπλησίας ἀποβαίνειν.

Δεῖ δὲ τὰς μεγίστας αὐτῶν παρ' ἀλλήλας θέντας βουλεύσασθαι, ποτέρας ἡμῖν αἱρετέον ἐστίν. Καὶ πρῶτον μὲν σκεψώμεθα τοὺς Ἕλληνας καὶ τοὺς βαρβάρους, πῶς πρὸς ἐκείνην τὴν πολιτείαν διέκειντο, καὶ πῶς νῦν ἔχουσι πρὸς ἡμᾶς. Οὐ γὰρ ἐλάχιστον μέρος τὰ γένη ταῦτα συμβάλλεται πρὸς εὐδαιμονίαν, ὅταν ἔχῃ κατὰ τρόπον[134] ἡμῖν.

Οἱ μὲν τοίνυν Ἕλληνες οὕτως ἐπίστευον τοῖς κατ' ἐκεῖνον τὸν χρόνον πολιτευομένοις, ὥστε τοὺς πλείστους αὐτῶν ἑκόντας ἐγχειρίσαι τῇ πόλει σφᾶς αὐτούς· οἱ δὲ βάρβαροι τοσοῦτον ἀπεῖχον τοῦ πολυπραγμονεῖν περὶ τῶν Ἑλληνικῶν πραγμάτων, ὥστε οὔτε μακροῖς πλοίοις[135] ἐπὶ τάδε Φασήλιδος[136] ἔπλεον, οὔτε στρατοπέδοις ἐντὸς Ἅλυος ποταμοῦ[137] κατέβαινον, ἀλλὰ πολλὴν ἡσυχίαν ἦγον. Νῦν δ' εἰς τοῦτο τὰ πράγματα περιέστηκεν, ὥσθ' οἱ μὲν μισοῦσι τὴν πόλιν, οἱ δὲ καταφρονοῦσιν ἡμῶν. Καὶ περὶ μὲν τοῦ μίσους τῶν Ἑλλήνων, αὐτῶν ἀκηκόατε τῶν στρατηγῶν· ὡς δὲ βασιλεὺς ἔχει πρὸς ἡμᾶς, ἐκ τῶν ἐπιστολῶν, ὧν ἔπεμψεν, ἐδήλωσεν[138].

Ἔτι πρὸς τούτοις ὑπὸ μὲν ἐκείνης τῆς εὐταξίας οὕτως ἐπαιδεύθησαν οἱ πολῖται πρὸς ἀρετήν, ὥστε σφᾶς μὲν αὐτοὺς μὴ λυπεῖν, τοὺς δ' εἰς τὴν χώραν εἰσβάλλοντας ἅπαντες[139] μαχόμενοι νικᾶν· ἡμεῖς δὲ τοὐναντίον ἀλλήλοις μὲν γὰρ κακὰ παρέχοντες[140] οὐδεμίαν ἡμέραν διαλείπομεν, τῶν δὲ περὶ τὸν πόλεμον οὕτω κατημελήκαμεν, ὥστ' οὐδ' εἰς ἐξετάσεις[141] ἰέναι τολμῶμεν, ἢν μὴ λαμβάνωμεν ἀργύριον. Τὸ δὲ μέγιστον[142], τότε μὲν οὐδεὶς ἦν τῶν πολιτῶν ἐνδεὴς τῶν ἀναγκαίων, οὐδὲ, προσαιτῶν τοὺς ἐντυγχάνοντας, τὴν πόλιν κατῄσχυνε, νῦν δὲ πλείους εἰσὶν οἱ σπανίζοντες[143] τῶν ἐχόντων· οἷς ἄξιόν ἐστι πολλὴν συγγνώμην ἔχειν, εἰ μηδὲν τῶν κοινῶν φροντίζουσιν, ἀλλὰ τοῦτο σκοποῦσιν, ὁπόθεν τὴν ἀεὶ παροῦσαν ἡμέραν διάξουσιν.

Ἐγὼ μὲν οὖν ἡγούμενος, ἢν μιμησώμεθα τοὺς προγόνους, καὶ τῶν κακῶν ἡμᾶς τούτων ἀπαλλαγήσεσθαι, καὶ σωτῆρας οὐ μόνον τῆς πόλεως, ἀλλὰ καὶ τῶν Ἑλλήνων ἁπάντων γενήσεσθαι, τήν τε πρόσοδον ἐποιησάμην, καὶ τοὺς λόγους εἴρηκα τούτους· ὑμεῖς δὲ πάντα λογισάμενοι, ταῦτα χειροτονεῖθ'[144] ὅ,τι ἂν ὑμῖν δοκῇ μάλιστα συμφέρειν τῇ πόλει.

---

134) Ὅταν φέρωνται πρὸς ἡμᾶς καθὼς πρέπει. 135) Πολεμικοῖς, πρὸς διαστολὴν τῶν στρογγύλων, τῶν ἐμπορικῶν. 136) Ἐνδοτέρω (πρὸς τὸ Αἰγαῖον) τῆς Φασήλιδος πόλεως τῆς Κιλικίας. 137) Ἅλυς, ποταμὸς χωρίζων ἀπὸ μεσημβρ. καὶ ἀνατολ. πρὸς ἄρκτον καὶ δυσμὰς τὴν κάτω ἢ μικρὰν Ἀσίαν τῆς ἄνω· σήμερον λέγεται Κιζὶλ-ἰρμὰκ (κόκκινος ποταμός), χύνεται δὲ εἰς τὸν Εὔξεινον Πόντον· τὸ δὲ Ἐντὸς, ἴσον τῷ Ἐντεῦθεν. 138) Μίαν τοιαύτην ἐπιστολὴν τοῦ Βασιλέως τῶν Περσῶν ἀναφέρει καὶ ὁ Αἰσχίνης (ἐν τῷ κατὰ Κτησιφῶντος, 632) « καὶ μάλα ὑβριστικὴν καὶ βάρβαρον, » καθὼς ὁ ῥήτωρ ἐκεῖ τὴν χαρακτηρίζει.
139) Ἅπαντας, κατὰ τὴν ἔκδοσιν τοῦ Κοραῆ. 140) Παρέχειν, κατὰ τὴν ἐκδ. τοῦ Κορ.
141) Δοκιμασίας τοῦ στρατοῦ ἢ γυμνάσια καὶ ἐπιθεωρήσεις. 142) (ἐνν.) Ἐστὶ τοῦθ' ὃ μέλλω ἐρεῖν. 143) Τῶν ἀναγκαίων. 144) Ἐπιψηφίζετε, ἐγκρίνετε, δι' ἀνατάσεως τῶν χειρῶν.

ΕΡΓΑΣΤΗΡΙΟ ΦΙΛΟΣΟΦΙΑΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
ΙΩΑΝΝΙΝΑ 2006

# Γ'. ΛΥΣΙΟΥ

Λυσίας, εἷς τῶν περιφημοτάτων ῥητόρων τῶν Ἀθηνῶν, ἦτον υἱὸς Κεφάλου μετοίκου ἐκ Συρακουσῶν, ἤκμασε δ' ἐπὶ τοῦ Πελοποννησιακοῦ πολέμου ἢ μετ' αὐτόν, καὶ ἔγραψε 230 λόγους, ἐξ ὧν μόνοι 34 διεσώθησαν, διακρινόμενοι διὰ τὴν ἀφέλειαν, τὴν φυσικὴν χάριν των, καὶ τὴν σαφήνειαν.

## ΛΟΓΟΣ ΕΠΙΤΑΦΙΟΣ

### ΕΠΙ ΤΩΝ ΕΝ ΤΩ ΠΟΛΕΜΩ

### ΥΠΕΡ ΤΩΝ ΚΟΡΙΝΘΙΩΝ ΑΠΟΘΑΝΟΝΤΩΝ

Τὸν λόγον τοῦτον ἐπρόφερεν ὁ Λυσίας ἐπὶ τῶν πεσόντων εἰς τὸν κληθέντα ΚΟΡΙΝΘΙΑΚΟΝ ΠΟΛΕΜΟΝ, τὸν συμβάντα δέκα ἔτη μετὰ τὸ τέλος τοῦ Πελοποννησιακοῦ πολέμου, ἐν ἔτει 393 Π. Χ. (Ὀλ. 96, δ'.), ὅτε οἱ Λακεδαιμόνιοι ἐξεστράτευσαν κατὰ τῆς Βοιωτίας (Ξενοφ. Ἑλλ. Δ'. 4, 1—13. — Διοδ. ΙΔ'. 86).

Εἰ μὲν ἡγούμην οἷόν τε εἶναι, ὦ παρόντες, ἐπὶ τῷδε τῷ τάφῳ λόγῳ δηλῶσαι τὴν τῶν ἐνθάδε κειμένων ἀνδρῶν ἀρετήν[1], ἐμεμψάμην ἂν[2] τοῖς ἐπαγγείλασιν[3] ἐπ' αὐτοῖς[4] ἐξ ὀλίγων ἡμερῶν[5] λέγειν· ἐπειδὴ δὲ τοῖς πᾶσιν ἀνθρώποις ὁ πᾶς χρόνος οὐχ ἱκανὸς λόγον ἴσον παρασκευάσαι[6] τοῖς τούτων ἔργοις, διὰ τοῦτο καὶ ἡ πόλις μοι δοκεῖ, προνοουμένη τῶν ἐνθάδε λεγόντων[7], ἐξ ὀλίγου[8] τὴν πρόσταξιν[9] ποιεῖσθαι, ἡγουμένη οὕτως ἂν μάλιστα συγγνώμης αὐτοὺς παρὰ τῶν ἀκουσάντων τυγχάνειν. Ὅμως δὲ ὁ μὲν λόγος μοι[10] περὶ τούτων, ὁ δ' ἀγὼν οὐ πρὸς τὰ τούτων ἔργα, ἀλλὰ πρὸς τοὺς πρότερον ἐπ' αὐτοῖς εἰρηκότας[11]. Τοσαύτην γὰρ ἀφθονίαν[12] παρεσκεύασεν ἡ τούτων ἀρετὴ καὶ τοῖς ποιεῖν δυναμένοις καὶ τοῖς εἰπεῖν βουληθεῖσιν, ὥστε καλὰ μὲν πολλὰ τοῖς προτέροις περὶ αὐτῶν εἰρῆσθαι[13], πολλὰ δὲ καὶ ἐκείνοις παραλελεῖφθαι, ἱκανὰ δὲ καὶ τοῖς ἐπιγιγνομένοις ἐξεῖναι λέγειν. Οὔτε γὰρ γῆς ἄπειροι[14], οὔτε θαλάσσης οὐδεμιᾶς· πανταχοῦ δὲ καὶ παρὰ πᾶσιν ἀνθρώποις οἱ τὰ αὑτῶν πενθοῦντες κακὰ τὰς τούτων ἀρετὰς ὑμνοῦσι[15].

---

1) Ἀνδρίαν. 2) Ἤθελα μεμφθῆ. 3) Εἰς τοὺς ἄρχοντας τοὺς παραγγείλαντας εἰς τὸν Λυσίαν νὰ ὁμιλήσῃ. 4) Εἰς μνήμην αὐτῶν τῶν πεσόντων. 5) Εἰς διάστημα ὀλίγων ἡμερῶν παρασκευασθείς. 6) Ὥστε π. Ὅλος ὁ ἄπειρος χρόνος ἂν ἐδίδετο εἰς ὅλον τὸ ἀνθρώπινον γένος, δὲν ἤθελε πάλιν ἀρκέσει ὥστε νὰ παρασκευάσωσιν. 7) Ἑαυτοῦ δηλ. ὅστις μέλλει νὰ ὁμιλήσῃ. 8) Πρὸ ὀλίγου καιροῦ. 9) Τὴν παραγγελίαν τῆς συντάξεως τοῦ λόγου. 10) Ἐστὶν ἐμοὶ ὁ λόγος, δηλ. ὁμιλῶ, θέλω ὁμιλήσει. 11) Ἀγωνίζομαι πῶς νὰ ὁμιλήσω ἀξίως ὄχι τῶν ἔργων αὐτῶν (διότι τοῦτο εἶναι ἀδύνατον), ἀλλὰ μόνον ἀξίως ἐκείνων οἵτινες πρὸ ἐμοῦ ὡμίλησαν περὶ αὐτῶν. 12) Ἀφθονίαν παραδειγμάτων τοῖς δυναμένοις ποιεῖν, καὶ ὑποθέσεις λόγων τοῖς βουληθεῖσιν εἰπεῖν. 13) Ἀπαρέμφατον ἐξαρτώμενον ἐκ τοῦ Ὥστε. Ὥστε ἐρρέθησαν. 14) Οἱ πανηγυριζόμενοι δὲν ἔμεινε γῆ τὴν ὁποίαν νὰ μὴ γνωρίζωσιν. 15) Οἱ προφέροντες ἐπιταφίους λόγους εἰς τοὺς ἀποθανόντας ἀνδρείους συμπατριώτας των ὑμνοῦσιν ἐξ ἀνάγκης τὰς τούτων (τῶν νῦν τιμωμένων) ἀνδραγαθίας· διότι θρηνοῦντες τὰς οἰκείας ἕκαστος συμφοράς, τιμῶσι καὶ δι' αὐτοῦ μόνου τοῦ πένθους, τὴν ἀνδρίαν αὐτῶν (τῶν ἡμετέρων συμπολιτῶν), οἵτινες νικήσαντες αὐτούς, ἔγιναν αἴτιοι τοῦ πένθους τούτου.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
ΙΩΑΝΝΙΝΑ 2006

Πρῶτον μὲν οὖν τοὺς παλαιοὺς κινδύνους τῶν προγόνων δίειμι[46], μνήμην παρὰ τῆς φήμης λαβών[47]. Ἄξιον γὰρ πᾶσιν ἀνθρώποις κἀκείνων[48] μεμνῆσθαι, ὑμνοῦντας μὲν ἐν ταῖς ᾠδαῖς, λέγοντας δ' ἐν ταῖς τῶν ἀγαθῶν γνώμαις, τιμῶντας δ' ἐν τοῖς καιροῖς τοῖς τοιούτοις, παιδεύοντας δ' ἐν τοῖς τῶν τεθνεώτων ἔργοις τοὺς ζῶντας.

Ἀμαζόνες[49] μὲν γὰρ Ἄρεως μὲν τὸ παλαιὸν ἦσαν θυγατέρες, οἰκοῦσαι δὲ παρὰ τὸν Θερμώδοντα[50] ποταμόν, μόναι δὲ ὡπλισμέναι σιδήρῳ τῶν περὶ αὐτάς[51], πρῶται δὲ τῶν πάντων[52] ἐφ' ἵππους ἀναβᾶσαι, οἷς ἀνελπίστως δι' ἀπειρίαν τῶν ἐναντίων, ᾕρουν[53] μὲν τοὺς φεύγοντας, ἀπέλειπον[54] δὲ τοὺς διώκοντας, ἐνομίζοντο δὲ διὰ τὴν εὐψυχίαν μᾶλλον ἄνδρες, ἢ διὰ τὴν φύσιν γυναῖκες· πλέον γὰρ ἐδόκουν τῶν ἀνδρῶν ταῖς ψυχαῖς διαφέρειν[55], ἢ ταῖς ἰδέαις[56] ἐλλείπειν. Ἄρχουσαι δὲ πολλῶν ἐθνῶν, καὶ ἔργῳ μὲν τοὺς περὶ αὑτὰς καταδεδουλωμέναι[57], λόγῳ δὲ περὶ τῆσδε τῆς χώρας[58] ἀκούουσαι κλέος[59] μέγα, πολλῆς δόξης καὶ μεγάλης ἐλπίδος χάριν[60] παραλαβοῦσαι τὰ μαχιμώτατα τῶν ἐθνῶν, ἐστράτευσαν ἐπὶ τήνδε τὴν πόλιν. Τυχοῦσαι δ' ἀγαθῶν ἀνδρῶν[61], ὁμοίας ἐκτήσαντο τὰς ψυχὰς τῇ φύσει[62], καὶ ἐναντίαν τὴν δόξαν[64] τῆς προτέρας λαβοῦσαι, μᾶλλον ἐκ τῶν κινδύνων[63] ἢ ἐκ τῶν σωμάτων ἔδοξαν εἶναι γυναῖκες. Μόναις δ' αὐταῖς οὐκ ἐξεγένετο ἐκ τῶν ἡμαρτημένων μαθούσαις[65] περὶ τῶν λοιπῶν ἄμεινον βουλεύσασθαι, οὐδ' οἴκαδε ἀπελθούσαις ἀπαγγεῖλαι τήν τε σφετέραν αὐτῶν δυστυχίαν καὶ τὴν τῶν ἡμετέρων προγόνων ἀρετήν. Αὐτοῦ[66] γὰρ ἀποθανοῦσαι, καὶ δοῦσαι δίκην[67] τῆς ἀνοίας, τῆσδε μὲν τῆς πόλεως διὰ τὴν ἀρετὴν[68] ἀθάνατον μνήμην ἐποιήσαντο, τὴν δὲ ἑαυτῶν πατρίδα, διὰ τὴν ἐνθάδε συμφορὰν ἀνώνυμον[69] κατέστησαν.

Ἐκεῖναι μὲν οὖν, τῆς ἀλλοτρίας[70] ἀδίκως ἐπιθυμήσασαι, τὴν αὑτῶν δικαίως ἀπώλεσαν. Ἀδράστου δὲ καὶ Πολυνείκους[71] ἐπὶ Θήβας στρατευσάντων, καὶ ἡττηθέντων μάχῃ, οὐκ ἐώντων τῶν Καδμείων[72] θάπτειν τοὺς νεκρούς, Ἀθηναῖοι ἡγησάμενοι ἐκείνους[73] μέν, εἴ τι ἠδίκουν, ἀποθανόντας δίκην ἔχειν τὴν μεγίστην[74], τοὺς δὲ κάτω τὰ αὑτῶν οὐ κομίζεσθαι[75], ἱερῶν

---

46) Ἀναφέρω. 47) Ἀνακαλῶν αὐτοὺς εἰς τὴν μνήμην μα[ς] ὡς φημίζονται. 48) Τῶν προγόνων. 49) Ἄρχεται ἐντεῦθεν ἐξιστορῶν τὰ κατορθώματα τῶν Ἀθηναίων ἀπὸ τῶν πρώτων μνημονευομένων. 50) Ποταμὸς τῆς Καππαδοκίας ἐν Ἀσίᾳ. 51) Μόναι των. Μόναι μεταξὺ ὅλων τῶν γυναικῶν ὅσαι κατῴκουν τοὺς πέριξ αὐτῶν τόπους. 52) Ἀνθρώπων. 53) Ἐκυρίευον, ἐνίκων. 54) Ἄφηνον ὀπίσω, διέφευγον. 55) Ὅτι ὑπερτεροῦσι. 56) Κατὰ τὰς μορφάς, τὰ σώματα. 57) Μέσως. Δουλώσασαι δι' ἑαυτῶν, διὰ τῶν [illegible]. 58) Τῆς Ἀττικῆς. 59) Φήμην. 60) Χάριν πολλῆς δόξης· πρὸς ἀπόκτησιν πολλῆς δόξης. 61) Τῶν Ἀθηναίων. 62) Δηλ. θηλυπρεπεῖς, ἀπεδειλίασαν. 63) Τὴν ὑπὸ [illegible] των. 64) Τὸ ὑποκείμενον τοῦ ἀπαρεμφάτου ταὐτοπροσωπεῖ τῷ ἀντικειμένῳ τοῦ ῥήματος ἀφ' οὗ τὸ ἀπαρέμφατον ἐξαρτᾶται. 65) Ὅσους ὑπέφερον. 66) Ἐνταῦθα, πρὸ τῶν Ἀθηνῶν. 67) Τιμωρηθεῖσαι διὰ τὴν ἄνοιαν. 68) Τῆς πόλεως. 69) Ἄδοξον. 70) Γῆς. 71) Πολυνείκης υἱὸς τοῦ Οἰδίποδος διωχθεὶς ἐκ Θηβῶν ἀπὸ τὸν ἀδελφόν του Ἐτεοκλέα ἦλθεν εἰς Ἄργος, καὶ νυμφευθεὶς τὴν ἀδελφὴν τοῦ βασιλέως Ἀδράστου, ἐξεστράτευσε κατὰ Θηβῶν τὴν λεγομένην ἐκστρατείαν τῶν Ἑπτὰ ἐπὶ Θήβας. 72) Οἱ ἀρχαῖοι κάτοικοι τῆς Βοιωτίας. Καδμεία ἐκαλεῖτο ἡ Ἀκρόπολις τῶν Θηβῶν. 73) Τοὺς νεκροὺς τοῦ Πολυνείκους. 74) Ὅτι ἀποθανόντες ἔλαβον τὴν μεγίστην τιμωρίαν. 75) Ὅτι (μὴ θαπτομένων τῶν νεκρῶν) οἱ κάτω (θεοὶ) δὲν λαμβάνουσι τὰ ἑαυτῶν, ὅσα ἀνήκουσιν αὐτοῖς, δηλ. τὰ σώματα τῶν νεκρῶν, καὶ τὰ ἐν ταῖς ἐπικηδείοις τελεταῖς νενομισμένα.

δὲ μιαινομένων[46], τοὺς ἄνω θεοὺς ἀσεβεῖσθαι[47], τὸ μὲν πρῶτον πέμψαντες κήρυκας, ἐδέοντο αὐτῶν[48] δοῦναι[49] τῶν νεκρῶν ἀναίρεσιν[50], νομίζοντες ἀνδρῶν μὲν ἀγαθῶν[51] εἶναι ζῶντας τοὺς ἐχθροὺς τιμωρήσασθαι, ἀπιστούντων δὲ σφίσιν αὐτοῖς[52] ἐν τοῖς τῶν τεθνεώτων σώμασι[53] τὴν εὐψυχίαν ἐπιδείκνυσθαι. Οὐ δυνάμενοι δὲ τούτων[54] τυχεῖν, ἐστράτευσαν ἐπ' αὐτούς, οὐδεμιᾶς διαφορᾶς[55] πρότερον πρὸς Καδμείους ὑπαρχούσης, οὐδὲ τοῖς ζῶσι τῶν Ἀργείων χαριζόμενοι, ἀλλὰ τοὺς τεθνεῶτας ἐν τῷ πολέμῳ ἀξιοῦντες[56] τῶν νομιζομένων τυγχάνειν, πρὸς τοὺς ἑτέρους[57] ὑπὲρ ἀμφοτέρων[58] ἐκινδύνευσαν· ὑπὲρ μὲν τῶν[59], ἵνα μηκέτι εἰς τοὺς τεθνεῶτας ἐξαμαρτάνοντες πλείω περὶ τοὺς θεοὺς[60] ἐξυβρίσωσιν· ὑπὲρ δὲ τῶν ἑτέρων, ἵνα μὴ πρότερον εἰς τὴν αὑτῶν[61] ἀπέλθωσι, πατρίου τιμῆς ἀτυχήσαντες, καὶ Ἑλληνικοῦ νόμου[62] στερηθέντες, καὶ κοινῆς ἐλπίδος ἡμαρτηκότες. Ταῦτα διανοηθέντες, καὶ τὰς ἐπὶ τῷ πολέμῳ τύχας κοινὰς ἁπάντων ἀνθρώπων νομίζοντες[63], πολλοὺς μὲν πολεμίους κτώμενοι[64], τὸ δὲ δίκαιον ἔχοντες σύμμαχον, ἐνίκων μαχόμενοι. Καὶ οὐχ ὑπὸ τῆς τύχης ἐπαρθέντες, μείζονος παρὰ Καδμείων τιμωρίας ἐπεθύμησαν[65], ἀλλ' ἐκείνοις μὲν ἀντὶ τῆς ἀσεβείας τὴν ἑαυτῶν ἀρετὴν ἐπεδείξαντο· αὐτοὶ δὲ λαβόντες τὰ ἆθλα[66], ὧνπερ ἕνεκα ἀφίκοντο, τοὺς Ἀργείων νεκροὺς ἔθαψαν ἐν τῇ αὑτῶν Ἐλευσῖνι[67].

Περὶ μὲν οὖν τοὺς ἀποθανόντας τῶν ἑπτὰ ἐπὶ Θήβας τοιοῦτοι γεγόνασιν[68]. Ὑστέρῳ δὲ χρόνῳ, ἐπειδὴ Ἡρακλῆς μὲν ἐξ ἀνθρώπων ἠφανίσθη[69], οἱ δὲ παῖδες αὐτοῦ ἔφευγον μὲν Εὐρυσθέα[70], ἐξηλαύνοντο δὲ ὑπὸ πάντων τῶν Ἑλλήνων, αἰσχυνομένων μὲν τοῖς ἔργοις[71], φοβουμένων δὲ τὴν Εὐρυσθέως δύναμιν, ἀφικόμενοι εἰς τήνδε τὴν πόλιν, ἱκέται ἐπὶ τὸν βωμὸν ἐκαθέζοντο. Ἐξαιτουμένου[72] δὲ αὐτοὺς Εὐρυσθέως, Ἀθηναῖοι οὐκ ἠθέλησαν ἐκδοῦναι, ἀλλὰ τὴν Ἡρακλέους ἀρετὴν μᾶλλον ᾐδοῦντο[73], ἢ τὸν κίνδυνον τὸν ἑαυτῶν ἐφοβοῦντο· καὶ ἠξίουν[74] ὑπὲρ τῶν ἀσθενεστέρων μετὰ τοῦ δικαίου[75] διαμάχεσθαι μᾶλλον, ἢ τοῖς δυναμένοις[76] χαριζόμενοι τοὺς ὑπ' ἐκείνων ἀδικουμένους ἐκδοῦναι. Ἐπιστρατεύσαντος[77] δ' Εὐρυσθέως μετὰ τῶν ἐν ἐκείνῳ τῷ

---

46) Ὅταν νεκροὶ ἔκειντο ἐν τοῖς ἱεροῖς. 47) Ἀσέβεια πράττεται πρὸς τοὺς ἄνω (δηλ. τοὺς οὐρανίους, τοὺς μὴ καταχθονίους) θεούς. 48) Τῶν Καδμείων. 49) Νὰ ἐπιτρέψωσι.
50) Ἀποκόμισιν πρὸς ταφήν. 51) Ἴδιον. 52) Ὅτι δὲν εἶναι ἴδιον ἀνδρῶν μὴ ἐχόντων πίστιν εἰς ἑαυτούς, εἰς τὴν ἀνδρίαν των. 53) Κατὰ τῶν σωμάτων. 54) Τῶν ζητουμένων.
55) Φιλονεικίας. 56) Ἀπαιτοῦντες νὰ τύχωσιν οἱ τεθνεῶτες. 57) Τοὺς Καδμείους.
58) Καὶ ὑπὲρ τῶν Καδμείων καὶ ὑπὲρ τῶν Ἀργείων. 59) Ὑπὲρ μὲν τούτων, τῶν Καδμείων. Πολεμοῦντες κατὰ τῶν Καδμείων ὑπὲρ αὐτῶν, λέγει, ἐπολέμουν, διότι τοὺς ἐμπόδιζον νὰ ἐξυβρίζωσι περισσότερον τοὺς θεούς. 60) Εἰς ὅσα ἀφορῶσι τοὺς θεούς. 61) Πόλιν
62) Ἑλληνικὸς νόμος ἦν νὰ θάπτωνται ἀναγκαίως οἱ νεκροί. 63) Νομίζοντες ὅτι εἶναι κοιναί, ὅτι δηλ. οἱ νικηταὶ δύνανται νὰ νικηθῶσι. 64) Ἔχοντες ἐχθροὺς μὲν πολλούς, μόνον δὲ σύμμαχον τὸ δίκαιον. 65) Οὐχ ἐπαρθέντες ἐπεθύμησαν, δηλ. οὐκ ἐπήρθησαν καὶ οὐκ ἐπεθύμησαν. 66) Τὰ ἆθλα ἦσαν οἱ νεκροὶ τῶν Ἀργείων. 67) Ἡ Ἐλευσὶς ἦν δῆμος τῆς Ἀττικῆς. 68) Τοιοῦτοι ἐδείχθησαν. 69) Δὲν λέγει ἀπέθανε, διότι ὡς ἡμίθεος ἠφανίσθη μόνον, ἀνελήφθη. 70) Τὸν ἐξάδελφον τοῦ Ἡρακλέους, ὅστις φθονῶν αὐτὸν τῷ ἐπέβαλε κατὰ βούλησιν τῆς Ἥρας τὰ 12 δύσκολα ἆθλα, τὰ ὁποῖα ὁ ἥρως κατώρθωσε. Μετὰ τὸν θάνατον αὐτοῦ κατέτρεξε καὶ τοὺς παῖδάς του. 71) Διὰ τὰ ἔργα ταῦτα, ὅτι ἐδίωκον τοὺς Ἡρακλείδας. 72) Ζητοῦντος νὰ τῷ παραδώσωσιν αὐτοὺς οἱ Ἀθηναῖοι. 73) Ἐντρέποντο, ἐσέβοντο. 74) Ἐπροτίμων. 75) Ἐχόντων ὑπὲρ αὐτῶν τὸ δίκαιον. 76) Τοὺς ἰσχυρούς.
77) Ἐπελθόντες μετὰ στρατεύματος.

χρόνῳ Πελοπόννησον ἐχόντων[78], οὐκ ἐγγὺς τῶν δεινῶν γενόμενοι μετέγνωσαν[79], ἀλλὰ τὴν αὐτὴν εἶχον γνώμην, ἥνπερ πρότερον· ἀγαθὸν μὲν οὐδὲν ἰδίᾳ ὑπὸ τοῦ πατρὸς αὐτῶν[80] πεπονθότες, ἐκείνους τ' οὐκ εἰδότες ὁποῖοί τινες ἄνδρες ἔσονται γενόμενοι[81], δίκαιον δὲ νομίζοντες εἶναι[82], οὐ προτέρας ἔχθρας ὑπαρχούσης πρὸς Εὐρυσθέα, οὐδὲ κέρδους προκειμένου πλὴν δόξης ἀγαθῆς, τοσοῦτον κίνδυνον ὑπὲρ αὐτῶν ἤραντο· τοὺς μὲν ἀδικουμένους ἐλεοῦντες, τοὺς δ' ὑβρίζοντας μισοῦντες· καὶ τοὺς μὲν κωλύειν ἐπιχειροῦντες, τοῖς δ' ἐπικουρεῖν ἀξιοῦντες· ἡγούμενοι ἐλευθερίας μὲν εἶναι σημεῖον, μηδὲν ποιεῖν ἄκοντας· δικαιοσύνης δὲ τοῖς ἀδικουμένοις βοηθεῖν· εὐψυχίας δ', ὑπὲρ τούτων ἀμφοτέρων[83], εἰ δέοι, μαχομένους ἀποθνήσκειν. Τοσοῦτον δ' ἐφρόνουν ἀμφότεροι[84], ὥσθ' οἱ μὲν μετ' Εὐρυσθέως οὐδὲν παρ' ἑκόντων ἐζήτουν εὑρίσκεσθαι[85], Ἀθηναῖοι δὲ οὐκ ἠξίουν Εὐρυσθέα αὐτὸν ἱκετεύοντα[86] τοὺς ἱκέτας αὐτῶν ἐξελεῖν. Παραταξάμενοι δ' ἰδίᾳ δυνάμει τὴν ἐξ ἁπάσης Πελοποννήσου στρατιὰν ἐλθοῦσαν ἐνίκων μαχόμενοι· καὶ τῶν Ἡρακλέους παίδων τὰ μὲν σώματα εἰς ἄδειαν κατέστησαν[87], ἀπαλλάξαντες δὲ τοῦ δέους καὶ τὰς ψυχὰς ἠλευθέρωσαν· διὰ δὲ τὴν τοῦ πατρὸς ἀρετὴν ἐκείνους τοῖς αὐτῶν[88] κινδύνοις ἐστεφάνωσαν. Τοσοῦτον δ' εὐτυχέστεροι παῖδες ὄντες ἐγένοντο[89] τοῦ πατρός· ὁ μὲν γάρ, καίπερ ὢν ἀγαθῶν πολλῶν αἴτιος ἅπασιν ἀνθρώποις, ἐπίπονον καὶ φιλόνεικον καὶ φιλότιμον[90] αὑτῷ καταστήσας τὸν βίον, τοὺς μὲν ἄλλους ἀδικοῦντας ἐκόλασε. Εὐρυσθέα δὲ καὶ ἐχθρὸν ὄντα, καὶ εἰς αὐτὸν ἐξαμαρτάνοντα, οὐχ οἷός τε ἦν τιμωρήσασθαι· οἱ δὲ παῖδες αὐτοῦ διὰ τήνδε τὴν πόλιν τῇ αὐτῇ εἶδον ἡμέρᾳ τήν θ' ἑαυτῶν σωτηρίαν, καὶ τὴν τῶν ἐχθρῶν τιμωρίαν.

Πολλὰ μὲν οὖν ὑπῆρχε[91] τοῖς ἡμετέροις προγόνοις μιᾷ γνώμῃ χρωμένοις[92] περὶ τοῦ δικαίου διαμάχεσθαι· ἥ τε γὰρ ἀρχὴ τοῦ βίου[93] δικαία· οὐ γάρ, ὥσπερ οἱ πολλοί[94], πανταχόθεν συνειλεγμένοι, καὶ ἑτέρους ἐκβαλόντες τὴν ἀλλοτρίαν ᾤκησαν[95], ἀλλ' αὐτόχθονες ὄντες, τὴν αὐτὴν ἐκέκτηντο μητέρα καὶ πατρίδα[96], πρῶτοι δὲ καὶ μόνοι ἐν ἐκείνῳ τῷ χρόνῳ, ἐκβαλόντες τὰς παρὰ σφίσιν αὐτοῖς δυναστείας[97], δημοκρατίαν κατεστήσαντο, ἡγούμενοι τὴν πάντων[98] ἐλευθερίαν ὁμόνοιαν εἶναι μεγίστην· κοινὰς δ' ἀλλήλοις τὰς ἐκ τῶν κινδύνων ἐλπίδας ποιήσαντες, ἐλευθέραις ταῖς ψυχαῖς ἐπολιτεύοντο, νόμῳ τοὺς ἀγαθοὺς τιμῶντες καὶ τοὺς κακοὺς κολάζοντες· ἡγησάμενοι θηρίων μὲν ἔργον εἶναι ὑπ' ἀλλήλων βίᾳ κρατεῖσθαι, ἀνθρώποις δὲ προσήκειν

---

78) Κατοικούντων. 79) Οὐ μετέγνωσαν γενόμενοι, ὅταν ἐπλησίασαν, εἰς τὸν κίνδυνον. 80) Τῶν Ἡρακλειδῶν. 81) Θέλουσι γείνει· δηλ. ἂν θὰ δειχθῶσιν ἀνδρεῖοι καὶ καλοί. 82) Τοῦτο δ' ἔμελλον πράξειν, τὸ δράσθαι τὸν κίνδυνον. 83) Ὑπὲρ ἐλευθερίας καὶ δικαιοσύνης. 84) Τόσον ἐφιλοφρόνουν ἀμφότεροι. Οἱ μετ' Εὐρυσθέως καὶ οἱ Ἀθηναῖοι. 85) Δὲν ἐζήτουν νὰ τοῖς δοθῇ τίποτε παρ' ἑκόντων τῶν Ἀθηναίων, δηλ. ἐζήτουν νὰ λάβωσι τοὺς ἱκέτας διὰ τῆς βίας. 86) Καὶ ἂν ἱκέτευεν ἀκόμη. 87) Εἰς ἀσφάλειαν, ἔσωσαν. 88) Τῶν Ἀθηναίων. 89) Οἱ Ἡρακλεῖδαι. 90) Ἀσχολούμενος πρὸς ἀπόκτησιν τιμῆς. 91) Πολλαὶ περιστάσεις ὑπῆρχον. 92) Ὁμονοοῦσι. 93) Αὐτῶν. 94) Οἱ περισσότεροι τῶν λαῶν. 95) Δηλ. ἡ Ἀττικὴ δὲν ἦτον ξένη, εἰς τὴν ὁποίαν κατῴκησαν ἐκβαλόντες ἄλλους. 96) Δηλ. πατρὶς ... ὅπου ἡ γῆ ἐξ ἧς καὶ κατάγονται. 97) Τοὺς δυνάστας. 98) Τῶν πολιτῶν.

νόμῳ μὲν ὁρίσασθαι τὸ δίκαιον, λόγῳ δὲ πεῖσαι[99], ἔργῳ δὲ τούτοις[100] ὑπηρετεῖν, ὑπὸ νόμου μὲν βασιλευομένους, ὑπὸ λόγου δὲ διδασκομένους[101].

Καὶ γάρτοι[102] καὶ φύντες καλῶς[103], καὶ γνόντες ὅμοια[104], πολλὰ μὲν καλὰ καὶ θαυμαστὰ οἱ πρόγονοι τῶν ἐνθάδε κειμένων εἰργάσαντο, ἀείμνηστα δὲ καὶ μεγάλα καὶ πανταχοῦ οἱ ἐξ ἐκείνων γεγονότες[105] τρόπαια διὰ τὴν αὑτῶν ἀρετὴν κατέλιπον. Μόνοι γὰρ ὑπὲρ ἁπάσης τῆς Ἑλλάδος πρὸς πολλὰς μυριάδας τῶν βαρβάρων διεκινδύνευσαν. Ὁ γὰρ τῆς Ἀσίας βασιλεύς, οὐκ ἀγαπῶν[106] τοῖς ὑπάρχουσιν[107] ἀγαθοῖς, ἀλλ' ἐλπίζων καὶ τὴν Εὐρώπην δουλώσεσθαι, ἔστειλε πεντήκοντα μυριάδας στρατιάν. Ἡγησάμενοι[108] δέ, εἰ τήνδε τὴν πόλιν, ἢ ἑκοῦσαν φίλην ποιήσαιντο, ἢ ἄκουσαν καταστρέψαιντο, ῥᾳδίως τῶν ἄλλων Ἑλλήνων ἄρξειν, ἀπέβησαν εἰς Μαραθῶνα, νομίσαντες οὕτως[109] ἂν ἐρημοτάτους εἶναι συμμάχων τοὺς Ἕλληνας, εἰ ἔτι στασιαζούσης[110] τῆς Ἑλλάδος ᾧ τινι χρὴ τρόπῳ τοὺς ἐπιόντας ἀμύνασθαι, τὸν κίνδυνον ποιήσαιντο[111]. Ἔτι δ' αὐτοῖς[112] ἐκ τῶν προτέρων ἔργων[113] περὶ τῆς πόλεως τοιαύτη δόξα[114] παρειστήκει, ὡς εἰ μὲν πρότερον ἐπ' ἄλλην πόλιν ἴασιν, ἐκείνοις[115] καὶ Ἀθηναίοις πολεμήσουσι· προθύμως γὰρ τοῖς ἀδικουμένοις ἥξουσι[116] βοηθήσοντες· εἰ δ' ἐνθάδε πρῶτον ἀφίξονται, οὐδένας ἄλλους τῶν Ἑλλήνων τολμήσειν, ἑτέρους σώζοντας[117], φανερὰν ἔχθραν πρὸς ἐκείνους ὑπὲρ αὐτῶν[118] καταθέσθαι. Οἱ μὲν τοίνυν ταῦτα διενοοῦντο· οἱ δ' ἡμέτεροι πρόγονοι, οὐ λογισμῷ εἰδότες[119] τοὺς ἐν τῷ πολέμῳ κινδύνους, ἀλλὰ νομίζοντες τὸν εὐκλεᾶ θάνατον ἀθάνατον περὶ τῶν ἀγαθῶν καταλείπειν λόγον[120], οὐκ ἐφοβήθησαν τὸ πλῆθος τῶν ἐναντίων, ἀλλὰ καὶ τῇ αὑτῶν ἀρετῇ μᾶλλον ἐπίστευσαν· καὶ αἰσχυνόμενοι, ὅτι ἦσαν οἱ βάρβαροι αὐτῶν ἐν τῇ χώρᾳ, οὐκ ἀνέμειναν πυθέσθαι[121], οὐδὲ βοηθῆσαι τοὺς συμμάχους, οὐδ' ᾠήθησαν δεῖν ἑτέροις τῆς σωτηρίας χάριν εἰδέναι[122], ἀλλὰ σφίσιν αὐτοῖς τοὺς ἄλλους Ἕλληνας. Ταῦτα μιᾷ γνώμῃ πάντες γνόντες[123], ἀπήντων ὀλίγοι πρὸς πολλούς[124]. Ἐνόμιζον γὰρ ἀποθανεῖν μὲν αὐτοῖς μετὰ πάντων προσήκειν, ἀγαθοὺς[125] δ' εἶναι μετ' ὀλίγων· καὶ τὰς μὲν ψυχὰς ἀλλοτρίας διὰ τὸν θάνατον κεκτῆσθαι[126], τὴν δ' ἐκ τῶν κινδύνων μνήμην ἰδίαν καταλείψειν. Ἠξίουν[127] δ' οὓς μὴ μόνοι νικῷεν[128], οὐδ' ἂν μετὰ συμμάχων δύνασθαι· καὶ ἡττηθέντες μέν, ὀλίγῳ τῶν ἄλλων προαπολεῖσθαι[129], νική-

---

99) Νὰ πείθωσι τοὺς ἀνθρώπους εἰς τὸ δίκαιον. 100) Τοῖς δικαίοις. 101) Ὑποκείμενα τῶν ἀπαρεμφάτων, ὁρίσασθαι, κτλ. 102) Περιποιητικὸν πρὸς ἀκούοντας. 103) Εὐγενεῖς ὄντες, ἐκ καλῶν πατέρων γεννηθέντες. 104) Φρονήσαντες γενναῖα ἢ ἀνατραφέντες ἀξίως τοῦ γένους των. 105) Γεννηθέντες, οἱ ἀπόγονοί των. 106) Εὐχαριστούμενος. 107) Αὐτῷ.

108) Ἡ στρατιά· πληθ. διὰ τὸ περιληπτικόν. 109) Ἀποδίδεται εἰς τὸ εἰ. 110) Ἐν ᾧ ἀκόμη ἐφιλονείκει. 111) Ἐπολέμουν. Ἂν ἐπολέμουν στασιαζούσης τῆς Ἑλλάδος, οὕτω τότε οἱ Ἕλληνες θὰ ἦσαν ἔρημοι. 112) Τοῖς Πέρσαις. 113) Τῶν Ἀθηναίων. 114) Ἰδέα.

115) Τοῖς πολίταις τῆς ἄλλης πόλεως. 116) Οἱ Ἀθηναῖοι. 117) Οὐδένας τολμήσειν σώζοντας καταθέσθαι. 118) Πρὸς τοὺς Πέρσας ὑπὲρ τῶν Ἀθηναίων. 119) Οὐκ ἀναλογισάμενοι. 120) Ὅτι ὁ θάνατος καταλείπει λόγον ἀθάνατον. 121) Νὰ ἀκούσωσιν (οἱ σύμμαχοι). 122) Νὰ γνωρίζωσι χάριν. 123) Ἀποφασίσαντες. 124) Τοὺς Πέρσας. 125) Γενναίους.

126) Ἐνόμιζον ὅτι αἱ ψυχαὶ δὲν εἶναι ἰδικαί των, διότι ὁ θάνατος τὰς ἀφαιρεῖ, ἡ μνήμη ὅμως τὴν ὁποίαν ἤθελον ἀφήσει περὶ τῶν κινδύνων των, αὐτὴ ὅτι εἶναι ἰδιοκτησία των.

127) Διϊσχυρίζοντο. 128) Ἐκείνους τοὺς ὁποίους δὲν ἤθελον νικήσει μόνοι. 129) Ἀπολεῖσθαι ὀλίγῳ [illegible] πρὸ τῶν ἄλλων.

σαντες δὲ, καὶ τοὺς ἄλλους ἐλευθερώσειν. Ἄνδρες δ' ἀγαθοὶ γενόμενοι, καὶ τῶν μὲν σωμάτων ἀφειδήσαντες[130], ὑπὲρ δὲ τῆς ἀρετῆς οὐ φιλοψυχήσαντες[131], καὶ μᾶλλον τοὺς παρ' αὐτοῖς νόμους αἰσχυνόμενοι[132] ἢ τὸν πρὸς τοὺς πολεμίους κίνδυνον φοβούμενοι, ἔστησαν μὲν τρόπαια ὑπὲρ τῆς Ἑλλάδος τῶν βαρβάρων[133], ἐκ τῆς αὐτῶν[134] ὑπὲρ χρημάτων εἰς τὴν ἀλλοτρίαν ἐμβαλόντων [παρὰ τοὺς ὅρκους[135]]· οὕτω δὲ διὰ ταχέων[136] τὸν κίνδυνον[137] ἐποιήσαντο, ὥστε οἱ αὐτοὶ[138] τοῖς ἄλλοις ἀπήγγειλαν τήν τε ἐνθάδε ἄφιξιν τῶν βαρβάρων, καὶ τὴν τῶν προγόνων[139] νίκην. Καὶ γάρτοι οὐδεὶς τῶν ἄλλων ἔδεισεν ὑπὲρ τοῦ μέλλοντος κινδύνου[140], ἀλλ' ἀκούσαντες ὑπὲρ τῆς αὑτῶν ἐλευθερίας ἥσθησαν. Ὥστε οὐδὲν θαυμαστὸν, παλαιῶν τῶν ἔργων γεγενημένων[141], ὥσπερ καινῶν ὄντων, ἔτι καὶ νῦν τὴν ἀρετὴν αὐτῶν ὑπὸ πάντων ἀνθρώπων ζηλοῦσθαι.

Μετὰ δὲ ταῦτα Ξέρξης[142], ὁ τῆς Ἀσίας βασιλεὺς, καταφρονήσας μὲν τῆς Ἑλλάδος, ἐψευσμένος[143] δὲ τῆς ἐλπίδος, ἀτιμαζόμενος δὲ τῷ γεγενημένῳ[144], ἀχθόμενος δὲ τῇ συμφορᾷ[145], ὀργιζόμενος δὲ τοῖς αἰτίοις, ἀπαθὴς δ' ὢν κακῶν καὶ ἄπειρος ἀνδρῶν ἀγαθῶν[146], δεκάτῳ ἔτει παρασκευασάμενος, χιλίαις μὲν καὶ διακοσίαις ναυσὶν ἀφίκετο· τῆς δὲ πεζῆς στρατιᾶς οὕτως ἄπειρον τὸ πλῆθος ἦγεν, ὥστε καὶ τὰ ἔθνη τὰ μετ' αὐτοῦ ἀκολουθήσαντα πολὺ ἂν ἔργον εἴη καταλέξαι[147]. Τὸ δὲ μέγιστον σημεῖον τοῦ πλήθους[148]· ἐξὸν[149] γὰρ αὐτῷ χιλίαις ναυσὶ διαβιβάσαι κατὰ τὸ στενώτατον[150] τοῦ Ἑλλησπόντου τὴν πεζὴν στρατιὰν ἐκ τῆς Ἀσίας εἰς τὴν Εὐρώπην, οὐκ ἠθέλησεν, ἡγούμενος τὴν διατριβὴν[151] αὐτῷ πολλὴν ἔσεσθαι· ἀλλ' ὑπεριδὼν[152] καὶ τὰ φύσει πεφυκότα[153], καὶ τὰ θεῖα πράγματα, καὶ τὰς ἀνθρωπίνας διανοίας, ὁδὸν μὲν διὰ τῆς θαλάσσης ἐποιήσατο, πλοῦν δὲ διὰ τῆς γῆς ἠνάγκασε γενέσθαι, ζεύξας μὲν τὸν Ἑλλήσποντον, διορύξας δὲ τὸν Ἄθω[154]· ὑφισταμένου[155] οὐδενὸς, ἀλλὰ τῶν μὲν ἀκόντων ὑπακουόντων, τῶν δὲ, ἑκόντων προδιδόντων· Οἱ μὲν γὰρ οὐχ ἱκανοὶ ἦσαν ἀμύνασθαι, οἱ δ' ὑπὸ χρημάτων διεφθαρμένοι[156]· ἀμφότερα δ' ἦν αὐτοὺς τὰ πείθοντα, κέρδος καὶ δέος. Ἀθηναῖοι δὲ, οὕτω διακειμένης τῆς Ἑλλάδος, αὐτοὶ μὲν εἰς τὰς ναῦς εἰσβάντες, ἐπ' Ἀρτεμίσιον[157] ἐβοήθησαν[158]. Λακεδαιμόνιοι δὲ καὶ

---

130) Ῥιψοκινδυνεύσαντες τὰ σώματά των. 131) Μὴ φοβηθέντες τὸν θάνατον.
132) Σεβόμενοι. 133) Τρόπαια τῶν βαρβάρων, δηλ. μνημεῖα τῆς τροπῆς τῶν βαρβάρων.
134) Γῆς. 135) Τοῦτο φαίνεται μεταγενεστέρα προσθήκη, διότι οἱ Πέρσαι ποτὲ δὲν ὡρκίσθησαν νὰ μὴ ἐκστρατεύσωσιν εἰς τὴν Ἑλλάδα. 136) Ταχέως. 137) Τὸν πόλεμον.
138) Αὐτοὶ οἱ ἴδιοι Ἀθηναῖοι. 139) Τὴν ἰδίαν ἑαυτῶν, οἵτινες ἦσαν ἡμῶν πρόγονοι.
140) Ἐπειδὴ δηλ. νικησάντων τῶν Ἀθηναίων ἐν Μαραθῶνι, δὲν εἶχον νὰ φοβῶνται οἱ ἄλλοι. 141) Παρῆλθον ἔκτοτε 93 ἔτη, διότι ἡ ἐν Μαραθῶνι μάχη ἐγένετο ἐν ἔτει 490 π. Χ. (Ὀλ. 72, γ'.), ἡ δὲ περὶ Κόρινθον ναυμαχία ἐν ἔτει 393 π. Χ. (Ὀλ. 96, δ'.).
142) Ὁ ἐν Μαραθῶνι ἡττηθεὶς ἦν ὁ Δαρεῖος. Ὁ δὲ Ξέρξης ἦν διάδοχος ἐκείνου.
143) Ἀποτυχών. 144) Ἐπὶ τῷ γ., διὰ τὸ συμβὰν, τὴν ἀποτυχίαν τοῦ πατρός του.
145) Ἐπὶ τῇ. 146) Μὴ παθὼν κακὰ, καὶ μὴ δοκιμάσας τοὺς ἀνδρείους, τὴν ἀνδρίαν τῶν Ἑλλήνων. 147) Νὰ ὀνομάσωμεν, νὰ ἀπαριθμήσωμεν. 148) Ἐστὶ τὸ ἑπόμενον.
149) Ὀνομαστικὴ ἀπόλυτος, διὰ τὸ ἀπρόσωπον. Ἐν ᾧ ἐξῆν. 150) Μέρος. 151) Τὴν χρονοτριβήν. 152) Παραβλέψας, περιφρονήσας. 153) Τὴν φύσιν, τὰ φυσικὰ πράγματα.
154) Ἤνοιξε διώρυγα εἰς τὸν ἰσθμὸν τοῦ Ἄθωνος καὶ διεβίβασεν ἐκεῖθεν τὸν στόλον του, διὰ νὰ μὴ τὸν περιπλεύσῃ. 155) Ἀνθισταμένου. 156) Ἦσαν. 157) Ἀκρωτήριον πρὸς βοῤῥᾶν τῆς Εὐβοίας. 158) Ὥρμησαν.

τῶν συμμάχων ἔνιοι εἰς Θερμοπύλας[159] ἀπήντησαν, ἡγούμενοι διὰ τὴν στενότητα τῶν χωρίων τὴν πάροδον[160] οἷοί τε[161] ἔσεσθαι διαφυλάξαι. Γενομένου δὲ τοῦ κινδύνου[162] κατὰ τὸν αὐτὸν χρόνον, Ἀθηναῖοι μὲν ἐνίκων τῇ ναυμαχίᾳ· Λακεδαιμόνιοι δέ, οὐδὲν[163] ταῖς ψυχαῖς ἐνδεεῖς[164] γενόμενοι, ἀλλὰ τοῦ πλήθους ψευσθέντες[165], καὶ οὓς φυλάξειν ᾤοντο[166], καὶ πρὸς οὓς κινδυνεύσειν ἔμελλον[167], διεφθάρησαν, οὐχ ἡττηθέντες τῶν ἐναντίων[168], ἀλλ' ἀποθανόντες οὗπερ ἐτάχθησαν μάχεσθαι. Τούτῳ δὲ τῷ τρόπῳ τῶν μὲν δυστυχησάντων, τῶν δὲ τῆς παρόδου κρατησάντων[169], οἱ μὲν ἐπορεύοντο ἐπὶ τήνδε τὴν πόλιν, οἱ δὲ ἡμέτεροι πρόγονοι, πυθόμενοι[170] μὲν τὴν γεγενημένην Λακεδαιμονίοις συμφοράν, ἀποροῦντες δὲ τοῖς περιεστηκόσι πράγμασιν[171], εἰδότες δ' ὅτι, εἰ μὲν κατὰ γῆν τοῖς βαρβάροις ἀπαντήσονται, ἐπιπλεύσαντες[172] χιλίαις ναυσὶν ἐρήμην τὴν πόλιν[173] λήψονται, εἰ δ' εἰς τὰς τριήρεις ἐμβήσονται, ὑπὸ τῆς πεζῆς στρατιᾶς ἁλώσονται[174], ἀμφότερα δὲ οὐ δυνήσονται, ἀμύνασθαί τε καὶ φυλακὴν ἱκανὴν καταλιπεῖν· δυοῖν δὲ προκειμένοιν, πότερον χρὴ τὴν πατρίδα ἐκλιπεῖν, ἢ μετὰ τῶν βαρβάρων γενομένους[175] καταδουλώσασθαι τοὺς Ἕλληνας, ἡγησάμενοι κρεῖττον εἶναι μετ' ἀρετῆς καὶ πενίας καὶ φυγῆς ἐλευθερίαν[176], ἢ μετ' ὀνείδους καὶ πλούτου δουλείαν τῆς πατρίδος, ἐξέλιπον ὑπὲρ τῆς Ἑλλάδος τὴν πόλιν, ἵν' ἐν μέρει πρὸς ἑκατέραν, ἀλλὰ μὴ πρὸς ἀμφοτέρας ἅμα τὰς δυνάμεις[177] κινδυνεύσωσιν. Ὑπεκθέμενοι[178] δὲ παῖδας καὶ γυναῖκας καὶ μητέρας εἰς Σαλαμῖνα, συνήθροιζον καὶ τὸ τῶν ἄλλων συμμάχων ναυτικόν. Οὐ πολλαῖς δ' ὕστερον ἡμέραις ἦλθε καὶ ἡ πεζὴ στρατιά, καὶ τὸ ναυτικὸν τὸ τῶν βαρβάρων. Ὃ τίς οὐκ ἂν ἰδὼν ἐφοβήθη[179]; Οἷος[180] μέγας καὶ δεινὸς τῇδε τῇ πόλει[181] κίνδυνος ὑπὲρ τῆς τῶν Ἑλλήνων ἐλευθερίας ἠγωνίσθη; Ποίαν δὲ γνώμην εἶχον ἢ οἱ θεώμενοι τοὺς ἐν ταῖς ναυσὶν ἐκείναις (οὔσης καὶ τῆς αὐτῶν σωτηρίας ἀπίστου, καὶ τοῦ κινδύνου προσιόντος) ἢ οἱ μέλλοντες ναυμαχήσειν [ὑπὲρ τῆς φιλότητος[182]] ὑπὲρ τῶν ἄθλων[183] τῶν ἐν Σαλαμῖνι; Οἷς[184] τοσοῦτον πανταχόθεν περιειστήκει πλῆθος πολεμίων, ὥστε ἐλάχιστον μὲν αὐτοῖς εἶναι τῶν παρόντων κακῶν τὸν θάνατον τὸν αὐτῶν προειδέναι[185], μεγίστην δὲ συμφορὰν ὑπὸ τῶν βαρβάρων εὐτυχησάντων[186] τοὺς ὑπεκτεθέντας ἤλπιζον[187] πείσεσθαι. Ἠ-

---

159) Στενὸν εἰς τὸ παραθαλάσσιον τῆς Φθιώτιδος, ὑπὸ τὸ Ὄρος Οἴτην. 160) Τῶν βαρβάρων. 161) Ἱκανοί. 162) Τῆς μάχης. 163) Κατ' οὐδέν, ἐν. 164) Ἐλλειπεῖς κατὰ τὰς ψυχάς, κατὰ τὴν εὐψυχίαν. 165) Ἀπατηθέντες ὡς πρὸς τὸν ἀριθμόν. 166) Καὶ ἐκεῖνο τοῦ πλήθους οὓς ᾤοντο, καὶ ὡς πρὸς τὸν ἀριθμὸν ἐκείνων, μεθ' ὧν ἐνόμιζον ὅτι ἤθελον φυλάξει τὰ στενά, διότι ἦλθον ὀλιγώτεροι Ἕλληνες ἀφ' ὅ,τι ἀπροσεδόκουν οἱ Λακεδαιμόνιοι.

167) Δηλ. εἶδον τοὺς ἐχθροὺς περισσοτέρους ἀφ' ὅ,τι τοὺς ἐνόμιζον. 168) Ὑπὸ τῶν.

169) Τῶν μὲν Λακεδαιμονίων, τῶν δὲ βαρβάρων. 170) Ἀκούσαντες. 171) Ἀποροῦντες τί νὰ πράξωσιν εἰς τὰς ἐπελθούσας περιστάσεις. 172) Οἱ βάρβαροι. 173) Οἱ βάρβαροι.

174) Θέλουσι νικηθῆ, κυριευθῆ. 175) Συμφωνήσαντες. 176) Τὴν ἐλευθερίαν μετ' ἀρετῆς κτλ. εἶναι κρεῖττον (χρῆμα). 177) Δηλ. τὴν πεζικὴν καὶ τὴν ναυτικήν.

178) Ἐξαγαγόντες κρυφίως. 179) Τίς ἰδὼν οὐκ ἂν ἐφοβήθη; 180) Θαυμαστικὸν ἢ πόσον.

181) Ἠγωνίσθη τῇδε τῇ πόλει, ἀντὶ ὑπὸ τῆσδε τῆς πόλεως. 182) Προφανὴς προσθήκη γραμματικοῦ, θέλοντος νὰ ἐξηγήσῃ ποῖα ἦσαν τὰ ἆθλα. 183) Τὰ ἆθλα ἦσαν οἱ εἰς Σαλαμῖνα καταφυγόντες παῖδες καὶ γυναῖκες. 184) Τοῖς μέλλουσι ναυμαχήσειν. 185) Τὸ προειδέναι τὸν θάνατον ἦν αὐτοῖς τὸ ἐλάχιστον τῶν κακῶν. 186) Ἐὰν ἤθελον νικήσει.

187) Ἐφοβοῦντο ὅτι οἱ ἀποσταλέντες εἰς Σαλαμῖνα ἤθελον πάθει συμφοράν.

κου[188] διὰ τὴν ὑπάρχουσαν ἀπορίαν πολλάκις μὲν ἐδεξιώσαντο[189] ἀλλήλους, εἰκότως δὲ σφᾶς αὐτοὺς ὠλοφύραντο, εἰδότες μὲν τὰς σφετέρας ναῦς ὀλίγας οὔσας, ὁρῶντες δὲ πολλὰς τὰς τῶν πολεμίων, ἐπιστάμενοι δὲ τὴν μὲν πόλιν ἠρημωμένην, τὴν δὲ χώραν πορθουμένην[190] καὶ μεστὴν τῶν βαρβάρων, [ἱερῶν δὲ καιομένων, ἁπάντων δ' ἐγγὺς ὄντων τῶν δεινῶν[191]], ἀκούοντες δὲ ἐν ταὐτῷ συμμεμιγμένου Ἑλληνικοῦ καὶ βαρβαρικοῦ παιᾶνος[192], παρακελευσμοῦ δ' ἀμφοτέρων, καὶ κραυγῆς τῶν διαφθειρομένων[193], καὶ τῆς θαλάττης μεστῆς τῶν νεκρῶν[194], καὶ πολλῶν μὲν συμπιπτόντων[195] καὶ φιλίων καὶ πολεμίων ναυαγίων, ἀντιπάλου[196] δὲ πολὺν χρόνον οὔσης τῆς ναυμαχίας, δοκοῦντες[197] τοτὲ μὲν νενικηκέναι καὶ σεσῶσθαι, τοτὲ δ' ἡττῆσθαι καὶ ἀπολωλέναι. Ἦπου διὰ τὸν παρόντα φόβον πολλὰ μὲν ᾠήθησαν ἰδεῖν ὧν[198] οὐκ εἶδον, πολλὰ δ' ἀκοῦσαι ὧν οὐκ ἤκουσαν[199]. Ποῖαι δὲ οὐχ ἱκετεῖαι θεῶν ἐγένοντο, ἢ θυσιῶν ἀναμνήσεις[200]; ἔλεός τε παίδων, καὶ γυναικῶν πόθος, οἶκτος τε πατέρων καὶ μητέρων[201]; λογισμός τε, εἰ δυστυχήσειαν, τῶν μελλόντων ἔσεσθαι κακῶν; Τίς οὐκ ἂν θεῶν ἠλέησεν αὐτοὺς ὑπὲρ[202] τοῦ μεγέθους τοῦ κινδύνου; ἢ τίς ἀνθρώπων οὐκ ἂν ἐδάκρυσεν; ἢ τίς τῆς τόλμης αὐτῶν οὐκ ἂν ἠγάσθη; Ἦ πολὺ πλεῖστον ἐκεῖνοι κατὰ τὴν ἀρετὴν ἁπάντων ἀνθρώπων διήνεγκαν καὶ ἐν τοῖς βουλεύμασι καὶ ἐν τοῖς τοῦ πολέμου κινδύνοις, ἐκλιπόντες μὲν τὴν πόλιν, εἰς τὰς ναῦς δ' ἐμβάντες, τὰς δ' αὐτῶν ψυχὰς[203], ὀλίγας οὔσας, ἀντιτάξαντες τῷ πλήθει τῷ τῆς Ἀσίας! ἐπέδειξαν δὲ πᾶσιν ἀνθρώποις, νικήσαντες τῇ ναυμαχίᾳ, ὅτι κρεῖττον μετ' ὀλίγων ὑπὲρ τῆς ἐλευθερίας κινδυνεύειν, ἢ μετὰ πολλῶν βασιλευομένων[204] ὑπὲρ τῆς αὐτῶν δουλείας! Πλεῖστα δὲ καὶ κάλλιστα ἐκεῖνοι ὑπὲρ τῆς τῶν Ἑλλήνων ἐλευθερίας συνεβάλοντο[205], στρατηγὸν μὲν Θεμιστοκλέα, ἱκανώτατον εἰπεῖν καὶ γνῶναι[206] καὶ πρᾶξαι, ναῦς δὲ πλείους τῶν ἄλλων ἁπάντων συμμάχων, ἄνδρας δ' ἐμπειροτάτους[207]. Καὶ γάρ τοι τίνες ἂν τούτοις τῶν ἄλλων Ἑλλήνων ἤρισαν[208] γνώμῃ, καὶ πλήθει, καὶ ἀρετῇ; Ὥστε δικαίως μὲν ἀναμφισβήτητα ἀριστεῖα[209] τῆς ναυμαχίας ἔλαβον παρὰ τῆς Ἑλλάδος, εἰκότως δὲ τὴν εὐπραξίαν ὁμονοοῦσαν τοῖς κινδύ-

---

188) Βεβαίως. 189) Ἐχαιρετίσθησαν, ἀπεχαιρετίσθησαν. 190) Λεηλατουμένην.

191) Πιθανὴ προσθήκη μεταγενεστέρου γραφέως· διότι ἡ γενικὴ αὕτη φαίνεται ξένη εἰς τὴν λοιπὴν σύνταξιν. 192) Τὸ πολεμιστήριον ᾆσμα. 193) Φονευομένων. 194) Ἡ γενικὴ αὕτη πρέπει νὰ ὑποτεθῇ ἐλλειπτικὴ τῆς μετοχῆς οὔσης, ὡς γενικῆς ἀπολύτου, καὶ ὄχι συντακτικὴ τοῦ ἀκούοντες, διότι ἡ θάλασσα δὲν ἀκούεται μεστὴ νεκρῶν. 195) Συγκρουομένων. 196) Ἰσορρόπου. 197) Αἱ μετοχαὶ αὗται ὑποκείμενα τοῦ Ὠλοφύραντο.

198) Ἔπρεπεν ἃ οὐκ εἶδον. Ἀλλὰ συμφωνεῖ μετὰ τῆς ὑπονοουμένης μεριστικῆς γενικοῦ πολλά. Πολλὰ ἐκείνων, ὧν. 199) Τοῦτο ἀναφέρεται εἰς τὰ φαντάσματα τὰ ὁποῖα ἐξεθείαζον ὅτι ἐφάνησαν εἰς τὴν μάχην, καὶ τὰ ὁποῖα φαίνεται ὅτι δὲν πιστεύει ὁ ῥήτωρ.

200) Ταξίματα. Ἐπὶ τῆς μάχης δὲν ἐδύναντο νὰ θύσωσιν· ἐμνημόνευον λοιπὸν μόνον τῶν θυσιῶν, τὰς ἔταξον. 201) Ἐγένετο. 202) Ἕνεκα. 203) Λέγει ὅτι ἀντέταξαν τὰς ψυχάς των, διότι τῷ ὄντι ὄχι διὰ τοῦ πλήθους τῶν σωμάτων, ἀλλὰ διὰ τῆς εὐψυχίας ἐνίκησαν.

204) Θέλει νὰ εἴπῃ δουλευόντων, μὴ ἐλευθέρων· διότι τότε ἐν Ἀθήναις ἄλλο εἶδος ἐλευθερίας δὲν ἦτο γνωστὸν ἀπὸ τὸ τῆς δημοκρατίας. 205) Συνεισέφερον. 206) Βουλεύεσθαι.

207) Στρατηγόν, ναῦς, ἄνδρας, ἀντικείμενα τοῦ Συνεβάλοντο. 208) Ἐφιλονείκησαν ἢν ἐδύναντο νὰ φιλονεικήσωσι. 209) Τὴν ἀμοιβὴν ὡς ἀριστεύσαντες.

νοις[210] ἐκτήσαντο, γνησίαν, δὲ καὶ αὐτόχθονα[211] τοῖς ἐκ τῆς Ἀσίας βαρβάροις τὴν αὐτῶν ἀρετὴν ἐπεδείξαντο.

Ἐν μὲν οὖν τῇ ναυμαχίᾳ τοιούτους αὐτοὺς παρασχόντες[212], καὶ πολὺ πλεῖστον τῶν κινδύνων μετασχόντες, τῇ ἰδίᾳ ἀρετῇ κοινὴν τὴν ἐλευθερίαν τοῖς ἄλλοις[213] ἐκτήσαντο· ὕστερον δὲ Πελοποννησίων διατειχιζόντων τὸν ἰσθμόν[214], καὶ ἀγαπώντων[215] μὲν τῇ αὐτῶν σωτηρίᾳ, νομιζόντων δ᾽ ἀπηλλάχθαι τοῦ κατὰ θάλατταν κινδύνου, καὶ διανοουμένων τοὺς ἄλλους Ἕλληνας περιιδεῖν ὑπὸ τοῖς βαρβάροις γενομένους, ὀργισθέντες Ἀθηναῖοι συνεβούλευον αὐτοῖς, εἰ ταύτην τὴν γνώμην ἕξουσι, περὶ ἅπασαν τὴν Πελοπόννησον τεῖχος περιβαλεῖν· εἰ γὰρ αὐτοὶ ὑπὸ Ἑλλήνων προδιδόμενοι μετὰ τῶν βαρβάρων ἔσονται[216], οὔτ᾽ ἐκείνοις[217] δεήσειν χιλίων νεῶν, οὔτε τούτους[218] ὠφελήσειν τὸ ἐν Ἰσθμῷ τεῖχος· ἀκινδύνως γὰρ ἔσεσθαι τὴν τῆς θαλάττης ἀρχὴν[219] τοῦ βασιλέως. Διδασκόμενοι[220] δέ, καὶ νομίζοντες αὐτοί[221] μὲν ἄδικά τε ποιεῖν καὶ κακῶς βουλεύεσθαι, Ἀθηναίους δὲ δίκαιά τε λέγειν καὶ τὰ βέλτιστα αὐτοῖς παραινεῖν, ἐβοήθησαν εἰς Πλαταιάς[222]. Ἀποδράντων δὲ ὑπὸ νύκτα[223] τῶν πλείστων συμμάχων ἐκ τῶν τάξεων διὰ τὸ πλῆθος[224] τῶν πολεμίων, Λακεδαιμόνιοι μὲν καὶ Τεγεᾶται[225] τοὺς βαρβάρους ἐτρέψαντο, Ἀθηναῖοι δὲ καὶ Πλαταιεῖς πάντας τοὺς Ἕλληνας[226] ἐνίκων μαχόμενοι τοὺς ἀπογνόντας τῆς ἐλευθερίας[227] καὶ ὑπομείναντας τὴν δουλείαν. Ἐν ἐκείνῃ δὲ τῇ ἡμέρᾳ καλλίστην τελευτὴν[228] τοῖς προτέροις κινδύνοις ἐπιθέντες, βέβαιον μὲν τὴν ἐλευθερίαν τῇ Εὐρώπῃ κατειργάσαντο[229], ἐν ἅπασι δὲ τοῖς κινδύνοις δόντες ἔλεγχον[230] τῆς ἑαυτῶν ἀρετῆς, καὶ μόνοι καὶ μεθ᾽ ἑτέρων, καὶ πεζομαχοῦντες καὶ ναυμαχοῦντες, καὶ πρὸς βαρβάρους καὶ πρὸς τοὺς Ἕλληνας, ὑπὸ πάντων ἠξιώθησαν, καὶ μεθ᾽ ὧν[231] ἐκινδύνευον καὶ πρὸς οὓς ἐπολέμουν, ἡγεμόνες[232] γενέσθαι τῆς Ἑλλάδος!

---

210) Σύμφωνον μὲ τοὺς κινδύνους των, ἐπίσης μεγάλην. 211) Ἀνήκουσαν εἰς τὴν γῆν, εἰς τὴν πατρίδα αὐτῶν. 212) Τοιούτους δόσαντες ἑαυτούς, τοιοῦτοι γενόμενοι, δειχθέντες.

213) Περιποιητ. ὑπὲρ τῶν ἄλλων. 214) Οἱ Πελοποννήσιοι φοβηθέντες τοὺς βαρβάρους συνέλαβον τὴν ἀγενῆ ἰδέαν νὰ τειχίσωσι τὸν Ἰσθμόν, καὶ νὰ κλεισθῶσιν ἐντὸς αὐτοῦ, φροντίζοντες περὶ τῆς ἰδίας μόνον σωτηρίας, καὶ ἀφήνοντες τοὺς ἄλλους Ἕλληνας ἕρμαιον τῶν βαρβάρων. 215) Εὐχαριστουμένων, ἀρκουμένων. 216) Ἂν αὐτοὶ οἱ Ἀθηναῖοι ἑνωθῶσι μὲ τοὺς βαρβάρους. 217) Τοῖς βαρβάροις, διότι τότε θέλουσιν ἀρκεῖ μόνα τὰ πλοῖα τῶν Ἀθηναίων διὰ νὰ κατακτήσωσιν ὅλην τὴν Πελοπόννησον. 218) Τοὺς Πελοποννησίους.

219) Ὁ βασιλεὺς (τῶν Περσῶν) θέλει ἄρχει ἀκινδύνως. 220) Πειθόμενοι. 221) Τὸ ὑποκείμενον τοῦ ἀπαρεμφάτου εἰς ὀνομαστικήν, διότι ταὐτοπροσωπεῖ μετὰ τοῦ ῥήματος ἐξ οὗ τὸ ἀπαρεμφ. ἐξαρτᾶται. 222) Ὁ Ξέρξης ἀναχωρήσας τῆς Ἑλλάδος ἄφησεν εἰς αὐτὴν τὸν Μαρδόνιον μὲ μέγαν στρατόν· οὗτος δὲ ἦλθε καὶ ἐστρατοπέδευσε περὶ τὰς Πλαταιὰς τῆς Βοιωτίας. 223) Διὰ νυκτός. 224) Διότι δηλ. ἐφοβήθησαν τὸ πλῆθος. 225) Τεγέα, πόλις τῆς Πελοποννήσου Ἀρκαδικὴ. 226) Εἰς τὴν ἐν Πλ. μάχην οἱ Ἀθηναῖοι ἦσαν ἀντιτεταγμένοι εἰς τοὺς Ἕλληνας τοὺς συμμαχοῦντας μετὰ τῶν βαρβάρων. 227) Ὅσοι δηλ. ἀπελπισθέντες περὶ τῆς ἐλευθερίας, ὅτι εἶναι δυνατὸν νὰ διατηρήσωσιν αὐτήν, ἡνώθησαν μετὰ τῶν Περσῶν. 228) Τέλος. 229) Βέβαιον κατειργάσαντο, ἐξησφάλισαν. 230) Ἀπόδειξιν.

231) Καὶ ὑπ᾽ ἐκείνων μεθ᾽ ὧν, καὶ ὑπ᾽ ἐκείνων πρὸς οὕς. 232) Μέχρι τοῦ καιροῦ ἐκείνου ἡγεμόνες τῆς Ἑλλάδος ἦσαν οἱ Λακεδαιμόνιοι, ὡς ἔγειναν πάλιν μετὰ τὸν Πελοποννησιακὸν πόλεμον. Εἰς δὲ τὸ μεταξὺ διάστημα ἡγεμόνευον οἱ Ἀθηναῖοι. Οἱ δὲ ἡγεμόνες ἐλάμβανον φόρον παρὰ τῶν Ἑλλήνων διὰ νὰ τοὺς προστατεύωσι κατὰ τῶν βαρβάρων, καὶ αὐτοὶ ἐδίωκον τὰς δυνάμεις των

Ὑστέρῳ δὲ χρόνῳ Ἑλληνικοῦ πολέμου καταστάντος[233], διὰ ζῆλον τῶν γεγενημένων, καὶ φθόνον τῶν πεπραγμένων[234], μέγα μὲν ἅπαντες φρονοῦντες[235], μικρῶν δ' ἐγκλημάτων[236] ἕκαστοι δεόμενοι, ναυμαχίας Ἀθηναίοις πρὸς Αἰγινήτας καὶ τοὺς ἐκείνων συμμάχους γενομένης, ἑβδομήκοντα τριήρεις αὐτῶν[237] ἐλάμβανον. Πολιορκούντων[238] δὲ κατὰ τὸν αὐτὸν χρόνον Αἴγυπτόν τε καὶ Αἴγιναν, καὶ τῆς ἡλικίας[239] ἀπούσης ἔν τε ταῖς ναυσὶ καὶ ἐν τῷ πεζῷ στρατεύματι, Κορίνθιοι καὶ οἱ ἐκείνων σύμμαχοι, ἡγούμενοι ἢ εἰς ἔρημον τὴν χώραν ἐμβαλεῖν, ἢ ἐξ Αἰγίνης ἄξειν τὸ στρατόπεδον[240], ἐξελθόντες πανδημεὶ Γεράνειαν[241] κατέλαβον. Ἀθηναῖοι δὲ, τῶν μὲν απόντων, τῶν δ' ἐγγὺς ὄντων[242], οὐδένα ἐτόλμησαν μεταπέμψασθαι[243]· ταῖς δ' αὐτῶν ψυχαῖς[244] πιστεύσαντες, καὶ τῶν ἐπιόντων καταφρονήσαντες, οἱ γεραίτεροι καὶ οἱ τῆς ἡλικίας ἐντὸς[245] γεγονότες, ἠξίουν αὐτοὶ μόνοι τὸν κίνδυνον ποιήσασθαι, οἱ μὲν ἐμπειρίᾳ τὴν ἀρετὴν[246], οἱ δὲ φύσει κεκτημένοι, καὶ οἱ μὲν αὐτοὶ πολλαχοῦ ἀγαθοὶ[247] γεγενημένοι, οἱ δὲ ἐκείνους μιμούμενοι, τῶν μὲν πρεσβυτέρων ἄρχειν ἐπισταμένων, τῶν δὲ νεωτέρων τὸ ἐπιταττόμενον ποιεῖν δυναμένων. Μυρωνίδου οὖν στρατηγοῦντος, ἀπαντήσαντες[248] αὐτοὶ εἰς τὴν Μεγαρικὴν[249], ἐνίκων μαχόμενοι ἅπασαν τὴν δύναμιν τὴν ἐκείνων τοῖς ἤδη ἀπειρηκόσι[250] καὶ τοῖς οὔπω δυναμένοις[251] (τοὺς εἰς τὴν σφετέραν ἐμβαλεῖν ἀξιώσαντας εἰς τὴν ἀλλοτρίαν ἀπαντήσαντες[252])· τρόπαιον δὲ στήσαντες καλλίστου μὲν αὐτοῖς ἔργου, αἰσχίστου δὲ τοῖς πολεμίοις, οἱ μὲν οὐκέτι τοῖς σώμασιν, οἱ δὲ οὔπω δυνάμενοι[253], ταῖς δὲ ψυχαῖς ἀμφότεροι κρείττους γενόμενοι, μετὰ καλλίστης δόξης εἰς τὴν αὐτῶν[254] ἀπελθόντες, οἱ μὲν πάλιν ἐπαιδεύοντο, οἱ δὲ περὶ τῶν λοιπῶν ἐβουλεύοντο[255].

Καθ' ἕκαστον[256] μὲν οὖν οὐ ῥᾴδιον τὰ ὑπὸ πολλῶν κινδυνευθέντα[257] ὑφ' ἑνὸς ῥηθῆναι, οὐδὲ τὰ ἐν ἅπαντι τῷ χρόνῳ πραχθέντα ἐν μιᾷ ἡμέρᾳ δηλωθῆναι. Τίς γὰρ ἂν ἢ χρόνος, ἢ λόγος, ἢ ῥήτωρ ἱκανὸς γένοιτο μηνῦσαι τὴν τῶν ἐνθάδε κειμένων ἀνδρῶν ἀρετήν; Μετὰ πλείστων γὰρ πόνων καὶ φανερωτάτων ἀγώνων καὶ καλλίστων κινδύνων ἐλευθέραν μὲν ἐποίησαν τὴν Ἑλ-

---

233) Ὁμιλεῖ περὶ τοῦ Αἰγινητικοῦ καὶ Μεγαρικοῦ πολέμου, συμβάντος ἐν Ὀλ. 80 (π. Χ. 457), περὶ οὗ ἴδε Θουκυδ. Α'. 104—106, 109, 110, καὶ Διόδ. ΙΑ'. 71—79. 234) Τῶν μὲν δηλ. πολεμησάντων κατὰ τῶν βαρβάρων, ἢ τῶν υἱῶν ἐκείνων, ζηλούντων εἰς πρώην πράξεις των, τῶν δὲ μὴ πολεμησάντων, φθονούντων αὐτούς. 235) Ὑψηλοφρονοῦντες. 236) Αἰτιῶν, κατηγοριῶν πρὸς ἀλλήλους. 237) Τῶν Αἰγινητῶν ἐλάμβανον οἱ Ἀθηναῖοι. 238) Τῶν Ἀθηναίων. 239) Τῆς ἀξιομάχου ἡλικίας, τῆς νεολαίας. 240) Ἢ ὅτι θέλουσιν εὕρει τὰς Ἀθήνας ἐρήμους, ἢ ὅτι διὰ νὰ μὴν ἀφήσωσιν αὐτὰς ἐρήμους, οἱ Ἀθηναῖοι θέλουσι φέρει τὸ στρατόπεδον ὀπίσω ἐξ Αἰγίνης. 241) Τὸ μεταξὺ Κορίνθου καὶ Μεγάρων ὄρος, ὅπου εἶναι ἡ Κακὴ Σκάλα. 242) Τῶν μὲν ἀπόντων εἰς Αἴγυπτον· τῶν δὲ ἐγγὺς ὄντων, ἐν Αἰγίνῃ. 243) Νὰ στείλωσι νὰ φέρωσιν ἀπὸ τοὺς στρατιώτας των. 244) Κοιλίαις. 245) Ἐντός, κατωτέρω, νεώτεροι τῆς ἡλικίας εἰς τὴν ὁποίαν ὑποχρεοῦνται νὰ καλῶσι νὰ ἐκστρατεύωσι. 246) Οἱ μὲν ἔχοντες τὴν ἀνδρίαν δι' ἐμπειρίαν, διότι ἦσαν παλαιοὶ στρατιῶται. 247) Ἀνδρεῖοι δειχθέντες. 248) Ἐκστρατεύσαντες. Ἡ μάχη καὶ ἡ νίκη τοῦ Μυρωνίδου ἐγένετο εἰς Οἰνόφυτα τῆς Βοιωτίας. 249) Χώραν. 250) Ἀπαυδήσασι, γέρουσι. 251) Τοῖς παιδίοις, τὰ ὁποῖα συνεξεστράτευσαν. 252) Τοῦτο φαίνεται κακοζήλως προστεθὲν ὑπὸ μεταγενεστέρου γραφέως. 253) Οὐκέτι δυνάμενοι καὶ οὔπω δυνάμενοι οἱ γέροντες καὶ οἱ παῖδες. 254) Εἰς τὴν πατρίδα των. 255) Περὶ τῶν λοιπῶν ἐσκέπτοντο, δηλ. ἦσαν βουλευταὶ καὶ ἄρχοντες (οἱ γέροντες). 256) Ἕκαστον ἰδιαιτέρως. 257) Τοὺς κινδύνους ὅσους ὑπέστησαν πολλοί.

λάδα, μεγίστην δ' ἀπέδειξαν[258] τὴν ἑαυτῶν πατρίδα, ἑβδομήκοντα μὲν ἔτη τῆς θαλάττης ἄρξαντες, ἀστασιάστους δὲ παρασχόντες[259] τοὺς ξυμμάχους, οὐ τοῖς ὀλίγοις τοὺς πολλοὺς δουλεύειν ἀξιώσαντες[260], ἀλλὰ τὸ ἴσον ἔχειν[261] ἅπαντας ἀναγκάσαντες, οὐδὲ τοὺς ξυμμάχους ἀσθενεῖς ποιοῦντες, ἀλλὰ κἀκείνους ἰσχυροὺς καθιστάντες, καὶ τὴν αὑτῶν δύναμιν τοσαύτην ἐπιδείξαντες, ὥσθ' ὁ μέγας βασιλεύς[262] οὐκ ἔτι τῶν ἀλλοτρίων ἐπεθύμει, ἀλλ' ἐδίδου τῶν ἑαυτοῦ[263], καὶ περὶ τῶν λοιπῶν ἐφοβεῖτο· καὶ οὔτε τριήρεις ἐν ἐκείνῳ τῷ χρόνῳ ἐκ τῆς Ἀσίας ἔπλευσαν, οὔτε τύραννος ἐν τοῖς Ἕλλησιν κατέστη, οὔτε Ἑλληνὶς πόλις ὑπὸ τῶν βαρβάρων ἠνδραποδίσθη. Τοσαύτην σωφροσύνην[264] καὶ δέος ἡ τούτων ἀρετὴ πᾶσιν ἀνθρώποις παρεῖχεν! [Ὧν ἕνεκα δεῖ μόνους καὶ προστάτας τῶν Ἑλλήνων καὶ ἡγεμόνας τῶν πόλεων γίγνεσθαι]. Ἐπέδειξαν δὲ καὶ ἐν ταῖς δυστυχίαις τὴν ἑαυτῶν ἀρετήν· ἀπολομένων γὰρ τῶν νεῶν ἐν Ἑλλησπόντῳ[265], εἴτε ἡγεμόνος κακίᾳ[266], εἴτε θεῶν διανοίᾳ[267], καὶ ξυμφορᾶς ἐκείνης μεγίστης γενομένης καὶ ἡμῖν τοῖς δυστυχήσασι καὶ τοῖς ἄλλοις Ἕλλησιν[268], ἐδήλωσαν οὐ πολλῷ χρόνῳ ὕστερον, ὅτι ἡ τῆς πόλεως δύναμις τῆς Ἑλλάδος ἦν σωτηρία· ἑτέρων[269] γὰρ ἡγεμόνων γενομένων, ἐνίκησαν μὲν ναυμαχοῦντες τοὺς Ἕλληνας οἱ πρότερον εἰς τὴν θάλατταν οὐκ ἐμβαίνοντες[270], ἔπλευσαν δ' εἰς τὴν Εὐρώπην[271], δουλεύουσι δὲ πόλεις τῶν Ἑλλήνων[272], τύραννοι[273] δ' ἐγκαθεστᾶσιν, οἱ μὲν μετὰ τὴν ἡμετέραν ξυμφοράν, οἱ δὲ μετὰ τὴν νίκην τῶν βαρβάρων. Ὥστ' ἄξιον ἦν ἐπὶ τῷδε τῷ τάφῳ τότε κείρασθαι τῇ Ἑλλάδι[274], καὶ πενθῆσαι τοὺς ἐνθάδε κειμένους[275], ὡς ξυγκαταθαπτομένης τῆς αὐτῶν ἐλευθερίας τῇ τούτων ἀρετῇ. Ὡς δυστυχὴς μὲν ἡ Ἑλλὰς τοιούτων ἀνδρῶν ὀρφανὴ γενομένη, εὐτυχὴς δ' ὁ τῆς Ἀσίας βασιλεὺς ἑτέρων ἡγεμόνων λαβόμενος[277]! τῇ μὲν γάρ, τούτων στερηθείσῃ, δουλεία περιέστηκε, τῷ δ', ἄλλων ἀρξάντων, ζῆλος ἐγγίγνεται τῆς τῶν προγόνων διανοίας[278].

Ἀλλὰ ταῦτα μὲν ἐξήχθην[279] ὑπὲρ πάσης ὀλοφύρασθαι τῆς Ἑλλάδος· ἐκεί-

---

258) Ἀνέδειξαν. 259) Καταστήσαντες τοὺς συμμάχους τοιούτους ὥστε νὰ μὴ στασιάζωσι.
260) Ὄχι ἀπαιτήσαντες ὥστε οἱ πολλοί (ὁ δῆμος ἑκάστης Ἑλληνικῆς πόλεως) νὰ δουλεύωσι τοὺς ὀλίγους (τοὺς πλουσίους καὶ δυνατούς), καθὼς ἔκαμναν οἱ ὀλιγαρχικοὶ Λακεδαιμόνιοι, καθιστῶντες ὀλιγαρχίας εἰς τὰς ὑπ' αὐτῶν προστατευομένας Ἑλληνικὰς πόλεις.
261) Νὰ ἔχωσιν ἴσα μεταξύ των. 262) Οὕτως ὠνομάζετο ὁ τῆς Περσίας. 263) Παρεχώρει εἰς τοὺς Ἕλληνας ἐκ τῶν ἑαυτοῦ τόπων. 264) Μετριοφροσύνην. 265) Εἰς τὸ τέλος τοῦ Πελοποννησιακοῦ πολέμου, ἐν ἔτει 405 π. Χ. (Ὀλ. 93, δ'.), ὅταν ἐνικήθησαν οἱ Ἀθηναῖοι ὑπὸ τῶν Λακεδαιμονίων εἰς τὴν ἐν Αἰγὸς Ποταμοῖς μάχην. 266) Ἀνικανότητα τοῦ στρατηγοῦ. 267) Κατ' ἀπόφασιν τῶν θεῶν. 268) Διότι ἔκτοτε ὑπέταξαν οἱ Λακεδαιμόνιοι τοὺς Ἀθηναίους καὶ τοὺς ἄλλους Ἕλληνας. 269) Τῶν Λακεδαιμονίων δηλ. 270) Οἱ Πέρσαι κατὰ τὸ πρὸ τούτου ἔτος (π. Χ. 394, Ὀλ. 96, γ'.) μετὰ τοῦ Κόνωνος ἐνίκησαν τοὺς Λακεδαιμονίους εἰς Κνίδον. 271) Κατ' αὐτὸ τοῦτο τὸ ἔτος καθ' ὃ προφέρεται ὁ ἐπιτάφιος, ὁ Φαρνάβαζος μετὰ τοῦ Κόνωνος ἐλεηλάτει τὴν παραθαλασσίαν τῆς Πελοποννήσου.
272) Αἱ Ἀθῆναι ὑπὸ τοὺς Λακεδαιμονίους, καὶ αἱ παράλιοι τῆς Ἀσίας ὑπὸ τοὺς Πέρσας.
273) Παραδείγματος χάριν οἱ τριάκοντα εἰς Ἀθήνας. 274) Τῇ Ἑλλάδι ἦν ἄξιον κείρασθαι. Ἔπρεπε νὰ κείρῃ ὅλη ἡ Ἑλλὰς τὴν κεφαλήν της, ὡς ἔκαμνον οἱ πενθοῦντες.
275) Ἀντικείμενον τοῦ ἀπαρεμφάτου. 276) Τῆς Ἑλλάδος, τῶν Ἑλλήνων. 277) Εὑρὼν τοὺς Λακεδαιμονίους ἡγεμονεύοντας τῆς Ἑλλάδος. 278) Ἀρχίζει νὰ ζηλεύῃ τὴν διάνοιαν, νὰ συλλαμβάνῃ (τὰς περὶ καταστάσεως τῆς Ἑλλάδος) ἰδέας τῶν προγόνων του.
279) Παρεκινήθην.

σιων δὲ τῶν ἀνδρῶν[380] ἄξιον καὶ ἰδίᾳ καὶ δημοσίᾳ μεμνῆσθαι, οἳ, φεύγοντες
τὴν δουλείαν καὶ περὶ τοῦ δικαίου μαχόμενοι, καὶ ὑπὲρ τῆς δημοκρατίας
στασιάσαντες[381], πάντας πολεμίους κεκτημένοι, εἰς τὸν Πειραιᾶ κατῆλθον,
οὐχ ὑπὸ νόμου ἀναγκασθέντες, ἀλλ' ὑπὸ τῆς φύσεως πεισθέντες, καινοῖς
κινδύνοις τὴν παλαιὰν τῶν προγόνων ἀρετὴν μιμησάμενοι, ταῖς αὑτῶν ψυ-
χαῖς κοινὴν τὴν πόλιν καὶ τοῖς ἄλλοις κτησάμενοι[382], θάνατον μετ' ἐλευθε-
ρίας αἱρούμενοι ἢ βίον μετὰ δουλείας, οὐχ ἧττον[383] ταῖς ξυμφοραῖς[384] αἰ-
σχυνόμενοι ἢ τοῖς ἐχθροῖς ὀργιζόμενοι, μᾶλλον βουληθέντες ἐν τῇ αὑτῶν
ἀποθνήσκειν ἢ ζῆν τὴν ἀλλοτρίαν οἰκοῦντες, ξυμμάχους μὲν ὅρκους καὶ
ξυνθήκας[385] ἔχοντες, πολεμίους δὲ τοὺς πρότερον ὑπάρχοντας[386] καὶ τοὺς
πολίτας τοὺς ἑαυτῶν[387]· ἀλλ' ὅμως οὐ τὸ πλῆθος τῶν ἐναντίων φοβηθέντες,
ἀλλ' ἐν τοῖς σώμασι τοῖς ἑαυτῶν κινδυνεύσαντες, τρόπαιον μὲν τῶν πολε-
μίων ἔστησαν, μάρτυρας δὲ τῆς αὑτῶν ἀρετῆς ἐγγὺς ὄντας τοῦδε τοῦ μνή-
ματος τοὺς Λακεδαιμονίων τάφους παρέχονται[388]. Καὶ γάρ τοι μεγάλην
μὲν ἀντὶ μικρᾶς ἀπέδειξαν τὴν πόλιν, ὁμονοοῦσαν δὲ ἀντὶ στασιαζούσης
ἀπέφηναν, τείχη δὲ ἀντὶ τῶν καθῃρημένων ἀνέστησαν. Οἱ δὲ κατελθόντες
αὐτῶν[389], ἀδελφὰ[390] τὰ βουλεύματα τοῖς ἔργοις τῶν ἐνθάδε κειμένων ἐπι-
δεικνύντες, οὐκ ἐπὶ τιμωρίαν τῶν ἐχθρῶν, ἀλλ' ἐπὶ σωτηρίαν τῆς πόλεως
ἐτράποντο καὶ οὔτε ἐλαττοῦσθαι[391] δυνάμενοι, οὔτ' αὐτοὶ πλέον ἔχειν δεό-
μενοι, τῆς μὲν αὑτῶν ἐλευθερίας καὶ τοῖς βουλομένοις δουλεύειν μετέδοσαν,
τῆς δ' ἐκείνων δουλείας αὐτοὶ μετέχειν οὐκ ἠξίωσαν. Ἔργοις δὲ μεγίστοις
καὶ καλλίστοις ἀπελογήσαντο, ὅτι οὐ κακίᾳ τῇ αὑτῶν, οὐδ' ἀρετῇ τῶν πο-
λεμίων, πρότερον ἐδυστύχησεν ἡ πόλις· εἰ γὰρ, στασιάσαντες πρὸς ἀλλή-
λους, βίᾳ τῶν παρόντων Πελοποννησίων[392] καὶ τῶν ἄλλων ἐχθρῶν, εἰς τὴν
αὑτῶν οἷοί τε ἐγένοντο κατελθεῖν[393], δῆλον ὅτι ῥᾳδίως ἂν ὁμονοοῦντες πο-
λεμεῖν αὐτοῖς ἐδύναντο[394].

Ἐκεῖνοι μὲν οὖν διὰ τοὺς ἐν Πειραιεῖ κινδύνους ὑπὸ πάντων ἀνθρώπων
ζηλοῦνται· ἄξιον δὲ καὶ τοὺς ξένους τοὺς ἐνθάδε κειμένους ἐπαινέσαι, οἳ, τῷ
πλήθει[395] βοηθήσαντες, καὶ περὶ τῆς ἡμετέρας σωτηρίας μαχόμενοι, πατρί-
δα τὴν ἀρετὴν ἡγησάμενοι[396], τοιαύτην τοῦ βίου τελευτὴν ἐποιήσαντο· ἀν-
θ' ὧν ἡ πόλις αὐτοὺς καὶ ἐπένθησε καὶ ἔθαψε δημοσίᾳ, καὶ ἔδωκεν ἔχειν
αὐτοῖς τὸν ἅπαντα χρόνον τὰς αὐτὰς τιμὰς τοῖς ἀστοῖς. Οἱ δὲ νῦν θαπτό-

---

380) Ἀφ' οὗ οἱ Λακεδαιμόνιοι δουλώσαντες τὰς Ἀθήνας, ὑπέταξαν αὐτὰς εἰς τριάκοντα τυ-
ράννους, ὁ Θρασύβουλος μετ' ὀλίγων ἀνδρείων, κυριεύσαντες πρῶτον τὸν Πειραιᾶ, ἠλευθέ-
ρωσαν τέλος καὶ τὴν πόλιν ἐν ἔτει 404 π. Χ. ('Ολ. 94, β'). Τούτους ἐννοεῖ ἐδῶ.
381) Ἐπαναστατήσαντες. 382) Διὰ τῆς ἰδίας των ἀνδρείας καταστήσαντες τὴν πόλιν
κοινὴν εἰς αὐτοὺς καὶ τοὺς ἄλλους, δηλ. ἐλευθέραν. 383) Ὁμοίως. 384) Διὰ τὰς συμφο-
ράς. 385) Τοὺς μεταξύ των ὅρκους. 386) Τοὺς Λακεδαιμονίους. 387) Ὡς ὄντας ὑποτεταγ-
μένους εἰς τοὺς τριάκοντα. 388) Μάρτυρας τῆς ἀνδρίας των δίδουσι τοὺς τάφους τῶν Λα-
κεδαιμονίων τοὺς ὁποίους ἐφόνευσαν, καὶ οἵτινες κεῖνται πλησίον αὐτοῦ τοῦ τάφου (ἐκ
τοῦ ὁποίου ὁμιλεῖ). 389) Ὅσοι δηλ. μὴ φονευθέντες τότε ἐπανῆλθον εἰς τὰς Ἀθήνας.
390) Ἐπίθετ. ὅμοια. 391) Νὰ ἦναι ἄλλων ὑποδεέστεροι. 392) Παρὰ τὴν θέλησιν.
393) Ἐδυνήθησαν νὰ ἐπιστρέψωσιν εἰς τὴν πατρίδα των. 394) Ἤθελον δυνηθῆ, ἂν ὡμο-
νόουν. 395) Διὰ τοῦ πλήθους αὐτῶν. 396) Δηλ. ὅτι ἐπολέμησαν ὑπὲρ τῆς ἀρετῆς, ὡς ἄλ-
λον πολεμήσει ὑπὲρ τῆς πατρίδος. Ταῦτα δὲ πάντα ἐπὶ Θρασυβούλου.

ΙΩΑΝΝΙΝΑ 2006

μένοι, βοηθήσαντες Κορινθίοις ὑπὸ παλαιῶν φίλων[297] ἀδικουμένοις, καινοὶ[298] ξύμμαχοι γενόμενοι οὐ τὴν αὐτὴν γνώμην Λακεδαιμονίοις ἔχοντες, (οἱ μὲν γὰρ τῶν ἀγαθῶν αὐτοῖς ἐφθόνουν, οἱ δὲ ἀδικουμένους αὐτοὺς[299] ἠλέουν) οὔτε τῆς προτέρας ἔχθρας μεμνημένοι, ἀλλὰ τὴν παροῦσαν φιλίαν περὶ πολλοῦ ποιούμενοι, πᾶσιν ἀνθρώποις φανερὰν τὴν αὐτῶν ἀρετὴν ἐπεδείξαντο· ἐτόλμησαν γάρ, μεγάλην ποιοῦντες τὴν Ἑλλάδα, οὐ μόνον περὶ τῆς αὐτῶν σωτηρίας κινδυνεύειν, ἀλλὰ καὶ ὑπὲρ τῆς τῶν πολεμίων ἐλευθερίας[300] ἀποθνήσκειν· τοῖς γὰρ Λακεδαιμονίων ξυμμάχοις περὶ τῆς ἐκείνων ἐλευθερίας ἐμάχοντο[301]. νικήσαντες μὲν γὰρ ἐκείνους[302] τῶν αὐτῶν[303] ἠξίουν, δυστυχήσαντες δὲ βέβαιον τὴν δουλείαν τοῖς ἐν τῇ Πελοποννήσῳ κατέλιπον.

Ἐκείνοις[304] μὲν οὖν οὕτω διακειμένοις ὁ βίος οἰκτρὸς καὶ ὁ θάνατος εὐκταῖος· οὗτοι δὲ καὶ ζῶντες καὶ ἀποθανόντες ζηλωτοί, παιδευθέντες μὲν ἐν τοῖς τῶν προγόνων ἀγαθοῖς, ἄνδρες δὲ γενόμενοι τήν τε ἐκείνων δόξαν διασώσαντες καὶ τὴν αὐτῶν ἀρετὴν ἐπιδείξαντες. Πολλῶν μὲν γὰρ καὶ καλῶν αἴτιοι γεγένηνται τῇ ἑαυτῶν πατρίδι, ἐπηνώρθωσαν δὲ τὰ ἐφ' ἑτέρων δυστυχηθέντα[305], πόρρω δ' ἀπὸ τῆς αὐτῶν τὸν πόλεμον κατέστησαν[306]. Ἐτελεύτησαν δὲ τὸν βίον, ὥσπερ χρὴ τοὺς ἀγαθοὺς ἀποθνήσκειν, τῇ μὲν πατρίδι τὰ τροφεῖα[307] ἀποδόντες, τοῖς δὲ θρέψασι λύπας[308] καταλιπόντες. Ὥστ' ἄξιον τοῖς ζῶσι τούτους ποθεῖν, καὶ σφᾶς αὐτοὺς ὀλοφύρεσθαι, καὶ τοὺς προσήκοντας αὐτῶν[309] ἐλεεῖν τοῦ ἐπιλοίπου βίου· τίς γὰρ αὐτοῖς ἔτι ἡδονὴ καταλείπεται, τοιούτων ἀνδρῶν θαπτομένων, οἵ, πάντα περὶ ἐλάττονος τῆς ἀρετῆς[310] ἡγούμενοι, αὐτοὺς μὲν ἀπεστέρησαν βίου, χήρας δὲ τὰς γυναῖκας ἐποίησαν, ὀρφανοὺς δὲ τοὺς αὐτῶν παῖδας ἀπέλιπον, ἐρήμους δ' ἀδελφοὺς καὶ πατέρας καὶ μητέρας κατέστησαν; Πολλῶν δὲ καὶ δεινῶν ὑπαρχόντων, τοὺς μὲν παῖδας αὐτῶν ζηλῶ, ὅτι νεώτεροί εἰσιν, ἢ ὥστε εἰδέναι[311] οἵων πατέρων ἐστέρηνται· ἐξ ὧν δ' οὗτοι γεγόνασιν[312] οἰκτείρω, ὅτι πρεσβύτεροι ἢ ὥστε ἐπιλαθέσθαι[313] τῆς δυστυχίας τῆς ἑαυτῶν. Τί γὰρ ἂν τούτων ἀνιαρότερον γένοιτο, ἢ τεκεῖν μὲν καὶ θρέψαι καὶ θάψαι τοὺς αὐτῶν[314], ἐν δὲ τῷ γήρᾳ ἀδυνάτους μὲν εἶναι τῷ σώματι, πασῶν δ' ἀπεστερημένους τῶν ἐλπίδων, ἀφίλους καὶ ἀπόρους[315] γεγονέναι; ὑπὸ δὲ τῶν αὐτῶν[316] πρότερον ζηλοῦσθαι καὶ νῦν ἐλεεῖσθαι; ποθεινότερον δὲ αὐτοῖς εἶναι τὸν θάνατον τοῦ βίου; ὅσῳ γὰρ ἄνδρες ἀμείνους ἦσαν[317], τοσούτῳ τοῖς καταλειπομένοις τὸ

297) Φίλων αὐτῶν, τῶν Κορινθίων· ἐννοεῖ δὲ τοὺς Λακεδαιμονίους. 298) Νέοι διότι ἄλλοτε οἱ Κορίνθιοι ἦσαν ἐχθροὶ τῶν Ἀθηναίων. 299) Οἱ μὲν Λακεδαιμόνιοι, αὐτοῖς, τοῖς Κορινθίοις. Οἱ δὲ Ἀθηναῖοι. 300) Τῆς ἐλευθερίας τῶν Κορινθίων, οἵτινες ἦσαν ἄλλοτε πολέμιοί των, καὶ τοὺς ὁποίους οἱ Λακεδαιμόνιοι ἤθελον νὰ δουλώσωσι. 301) Ἐμάχοντο ὁμοῦ (ὡς σύμμαχοι) μετὰ τῶν συμμάχων τῶν Λακεδαιμονίων ὑπὲρ τῆς ἐλευθερίας ἐκείνων, τῶν συμμάχων. 302) Τοὺς Λακεδαιμονίους. 303) Αὐτῶν τούτων, τοῦ ποιεῖν τὴν Ἑλλάδα μεγάλην. 304) Τοῖς συμμάχοις τῶν Λακεδαιμονίων. 305) Τὰ δυστυχήματα ὅσα συνέβησαν ἐφ' ἑαυτῶν. 306) Ἐμάκρυναν δὲ τὸν πόλεμον ἀπὸ τὴν χώραν των. 307) Ὑπηρεσίαν εἰς ἀντιμισθίαν διότι τοὺς ἔθρεψε. 308) Διὰ τὸν θάνατόν των. 309) Τοὺς συγγενεῖς αὐτῶν. 310) Ὀλιγώτερον φροντίζοντες περὶ παντὸς ἄλλου ἢ περὶ τῆς ἀρετῆς.

311) Νεώτεροι ἀφ' ὅ,τι ἀπῃτεῖτο ὥστε νὰ γνωρίζωσι. Τόσον νέοι ὥστε δὲν γνωρίζουσι.

312) Οἰκτείρω ἐκείνους ἐξ ὧν, δηλ. τοὺς γονεῖς των. 313) Διότι οἱ γέροντες δυσκόλως λησμονοῦν τὰς δυστυχίας των. 314) Υἱούς. 315) Νὰ μείνωσι χωρὶς φίλων καὶ πόρων.

316) Ὑπὸ τῶν αὐτῶν ἀνθρώπων. 317) Οἱ ἀποθανόντες.

πένθος μεῖζον. Πῶς δ' αὐτοὺς χρὴ λῆξαι[518] τῆς λύπης; Πότερον ἐν ταῖς τῆς
πόλεως ξυμφοραῖς; ἀλλὰ τότε αὐτῶν εἰκὸς καὶ τοὺς ἄλλους μεμνῆσθαι[519].
Ἀλλ' ἐν ταῖς εὐτυχίαις ταῖς κοιναῖς; ἀλλ' ἱκανὸν[520] λυπῆσαι, τῶν μὲν σφε-
τέρων τέκνων τετελευτηκότων, τῶν δὲ ζώντων ἀπολαυόντων τῆς τούτων
ἀρετῆς. Ἀλλ' ἐν τοῖς ἰδίοις κινδύνοις[521]; ὅταν ὁρῶσι τοὺς μὲν πρότερον
ὄντας φίλους φεύγοντας τὴν αὐτῶν ἀπορίαν[522], τοὺς δ' ἐχθροὺς μέγα φρο-
νοῦντας ἐπὶ ταῖς δυστυχίαις ταῖς τούτων; Μόνην δ' ἄν μοι δοκοῦμεν ταύτην
τοῖς ἐνθάδε κειμένοις ἀποδοῦναι[523] χάριν, εἰ τοὺς μὲν τοκέας αὐτῶν ὁμοίως
ὥσπερ ἐκεῖνοι, περὶ πολλοῦ ποιοίμεθα[524], τοὺς δὲ παῖδας οὕτως ἀσπαζοί-
μεθα[525], ὥσπερ αὐτοὶ πατέρες ὄντες· ταῖς δὲ γυναιξὶν εἰ τοιούτους βοηθοὺς
ἡμᾶς αὐτοὺς παρέχοιμεν[526], οἷοί περ ἐκεῖνοι ζῶντες ἦσαν. Τίνας γὰρ ἂν
εἰκότως μᾶλλον τιμῷμεν τῶν ἐνθάδε κειμένων; τίνας δ' ἂν τῶν ζώντων
δικαιότερον περὶ πολλοῦ ποιοίμεθα, ἢ τοὺς τούτοις προσήκοντας; οἳ τῆς
μὲν τούτων ἀρετῆς τὸ ἴσον τοῖς ἄλλοις[527] ἀπέλαυσαν, ἀποθανόντων δὲ μόνοι
γνησίως τῆς δυστυχίας μετέχουσιν.

Ἀλλὰ γὰρ οὐκ οἶδ' ὅτι[528] δεῖ τοιαῦτα ὀλοφύρεσθαι· οὐ γὰρ ἐλανθάνομεν
ἡμᾶς αὐτοὺς[529] ἅπαντες ὄντες θνητοί. Ὥστε τί δεῖ, ἃ πάλαι[530] προσεδοκῶ-
μεν πείσεσθαι, ὑπὲρ τούτων νῦν ἄχθεσθαι; ἢ λίαν οὕτω βαρέως φέρειν[531]
ἐπὶ ταῖς τῆς φύσεως ξυμφοραῖς, ἐπισταμένους ὅτι ὁ θάνατος κοινὸς καὶ τοῖς
χειρίστοις καὶ τοῖς βελτίστοις; οὔτε γὰρ τοὺς πονηροὺς ὑπερορᾷ[532], οὔτε τοὺς
ἀγαθοὺς θαυμάζει, ἀλλ' ἴσον ἑαυτὸν παρέχει[533] πᾶσιν. Εἰ μὲν γὰρ οἷόν τε
ἦν τοὺς ἐν τῷ πολέμῳ κινδύνους διαφυγοῦσιν[534] ἀθανάτους εἶναι τὸν λοι-
πὸν χρόνον ἄξιον ἦν τοῖς ζῶσι τὸν ἅπαντα χρόνον πενθεῖν τοὺς τεθνεῶτας·
νῦν δὲ ἥ τε φύσις καὶ νόσων ἥττων[535] καὶ γήρως, ὅ τε δαίμων ὁ τὴν ἡμε-
τέραν μοῖραν εἰληχὼς[536] ἀπαραίτητος[537]. Ὥστε προσήκει τούτους εὐδαιμο-
νεστάτους ἡγεῖσθαι, οἵτινες ὑπὲρ μεγίστων καὶ καλλίστων κινδυνεύσαντες,
οὕτω[538] τὸν βίον ἐτελεύτησαν, οὐκ ἐπιτρέψαντες περὶ αὐτῶν τῇ τύχῃ[539], οὐδὲ
ἀναμείναντες τὸν αὐτόματον θάνατον, ἀλλ' ἐκλεξάμενοι τὸν κάλλιστον. Καὶ
γάρ τοι ἀγήρατοι μὲν αὐτῶν αἱ μνῆμαι, ζηλωταὶ δὲ (αὐτῶν[540]) ὑπὸ πάντων
ἀνθρώπων αἱ τιμαί· οἳ πενθοῦνται μὲν διὰ τὴν φύσιν ὡς θνητοί, ὑμνοῦνται
δὲ ὡς ἀθάνατοι διὰ τὴν ἀρετήν. Καὶ γάρ τοι θάπτονται δημοσίᾳ, καὶ ἀγῶ-
νες[541] τίθενται ἐπ' αὐτοῖς ῥώμης καὶ σοφίας καὶ πλούτου[542], ὡς ἀξίους ὄντας

---

518) Νὰ παύσωσι. 519) Ὄχι μόνον οἱ γονεῖς των δὲν πρέπει τότε νὰ τοὺς λησμονῶσιν,
ἀλλὰ καὶ οἱ ἄλλοι πολῖται νὰ τοὺς ἐνθυμῶνται. 520) Ἱκανόν ἐστι πρᾶγμα ὥστε νὰ λυπήσῃ.
521) Χρὴ αὐτοὺς λῆξαι τῆς λύπης; 522) Αὐτοὺς ὡς ὄντας ἀπόρους. 523) Φαινόμεθα εὐ-
[illegible] ὅτι θὰ ἀποδώσωμεν, δηλ. νομίζω ὅτι μόνην χάριν δυνάμεθα ν' ἀποδώσωμεν.
524) Περιποιούμεθα. 525) Ἀγαπῶμεν. 526) Γινόμεθα βοηθοί. 527) Ἐπίσης μετὰ τῶν
ἄλλων, ὄχι περισσότερον. 528) Διατί. 529) Δὲν ἠγνοοῦμεν. 530) Δηλ. τὸν θάνατον.
531) Νὰ βαρυθυμῶμεν. 532) Περιφρονεῖ καὶ ἀφήνει. 533) Δηλ. ἐξ ἴσου ἔρχεται.
534) Ἄξιον ἦν πενθεῖν τοὺς τεθνεῶτας, εἰ ἦν οἷον τοῖς τεθνεῶσι, διαφυγοῦσι τοὺς κινδύ-
νους, εἶναι ἀθανάτους. 535) Νικᾶται καὶ ἀπὸ τὰς νόσους καὶ ἀπὸ τὸ γῆρας. 536) Ὅστις
ἔλαχε νὰ διευθύνῃ τὴν μοῖραν ἡμῶν. 537) Ἀκαμπτός ἐστι. 538) Ὡς αὐτοί. 539) Μὴ ἀφή-
σαντες εἰς τὴν τύχην νὰ ἀποφασίσῃ περὶ αὐτῶν. 540) Πλεονάζει ἐνταῦθα· πιθανῶς μετα-
γενεστέρα προσθήκη ἐξηγοῦσα ὅτι ἐλλείπει ἡ ἀντωνυμία μετὰ τὸ αἱ τιμαί. 541) Ἦν ἔθος
τῶν ἀρχαίων ὅταν ἀπέδιδον μεγάλας ἐπιταφίους τιμὰς εἴς τινα, νὰ τελῶσιν ἀγῶνας περὶ
τὸν τάφον του. 542) Ῥώμης, οἱ γυμνικοὶ ἀγῶνες· σοφίας, οἱ ῥητορικοὶ κ. ποιητικοί· πλού-

τοὺς ἐν τῷ πολέμῳ τετελευτηκότας ταῖς αὐταῖς τιμαῖς καὶ τοὺς ἀθανάτους[343] τιμᾶσθαι. Ἐγὼ μὲν οὖν αὐτοὺς καὶ μακαρίζω τοῦ θανάτου[344], καὶ ζηλῶ, καὶ μόνοις τούτοις ἀνθρώπων[345] οἶμαι κρεῖττον εἶναι γενέσθαι[346], οἵτινες, ἐπειδὴ[347] θνητῶν σωμάτων ἔτυχον, ἀθάνατον μνήμην διὰ τὴν ἀρετὴν αὑτῶν κατέλιπον· ὅμως δ' ἀνάγκη τοῖς ἀρχαίοις ἔθεσι χρῆσθαι, καὶ θεραπεύοντας[348] τὸν πάτριον νόμον ὀλοφύρεσθαι τοὺς θαπτομένους.

---

# ΛΥΣΙΟΥ

## ΚΑΤΑ ΣΙΤΟΠΩΛΩΝ

Ἐπειδὴ οἱ Ἀθηναῖοι διὰ στέρησιν ἐντοπίου σίτου μετεχειρίζοντο ξενικόν, διὰ τοῦτο οἱ ἐγχώριοι σιτοπῶλαι κερδοσκοποῦντες ἠγόραζον ὅλον τὸν σῖτον διὰ νὰ τὸν πωλῶσιν εἰς μεγάλας τιμάς. Πρὸς ἀποφυγὴν τῆς καταχρήσεως ταύτης ἔγεινε νόμος ἐμποδίζων νὰ μὴ ἀγοράζῃ κἀνεὶς σῖτον ὑπὲρ τοὺς πεντήκοντα φορμούς. Ὁ δὲ παρὼν λόγος ἐγράφη κατὰ τῶν παραβάντων τὸν νόμον τοῦτον. Ἐξεφωνήθη δέ, ὡς φαίνεται, ὑπό τινος τῶν βουλευτῶν ἢ πρυτάνεων.

ΠΟΛΛΟΙ μοι προσεληλύθασιν, ὦ ἄνδρες δικασταί, θαυμάζοντες ὅτι ἐγὼ τῶν σιτοπωλῶν ἐν τῇ βουλῇ κατηγόρουν, καὶ λέγοντες, ὅτι ὑμεῖς, εἰ ὡς μάλιστα αὐτοὺς ἀδικεῖν ἡγεῖσθε[1], οὐδὲν ἧττον καὶ τοὺς περὶ τούτων ποιουμένους λόγους συκοφαντεῖν νομίζετε. Ὅθεν[2] οὖν ἠνάγκασμαι κατηγορεῖν αὐτῶν, περὶ τούτων πρῶτον εἰπεῖν βούλομαι.

Ἐπειδὴ γὰρ οἱ Πρυτάνεις[3] ἀπέδοσαν[4] εἰς τὴν βουλὴν περὶ αὐτῶν, οὕτως ὠργίσθησαν[5] αὐτοῖς, ὥστε ἔλεγόν τινες τῶν ῥητόρων, ὡς ἀκρίτους αὐτοὺς χρὴ τοῖς ἕνδεκα[6] παραδοῦναι θανάτῳ ζημιῶσαι[7]. Ἡγούμενος δὲ ἐγὼ δεινὸν εἶναι τοιαῦτα ἐθίζεσθαι ποιεῖν τὴν βουλήν, ἀναστὰς εἶπον, ὅτι μοι δοκοίη[8] κρίνειν τοὺς σιτοπώλας κατὰ τὸν νόμον· νομίζων, εἰ μέν εἰσιν ἄξια θανάτου εἰργασμένοι[9], ὑμᾶς οὐδὲν ἧττον ἡμῶν γνώσεσθαι τὰ δίκαια· εἰ δὲ μηδὲν ἀδικοῦσιν, οὐ δεῖν αὐτοὺς ἀκρίτους ἀπολωλέναι. Πεισθείσης δὲ τῆς βουλῆς ταῦτα, διαβάλλειν ἐπιχειροῦν[10] με λέγοντες, ὡς ἐγὼ σωτηρίας ἕνεκα τῆς

---

κου, διὰ τὴν ἐπιδεικνυομένην πολυτέλειαν. [343]) Διότι καὶ εἰς τὰς πανηγύρεις τῶν θεῶν ἐγίνοντο ὅμοιοι ἀγῶνες. [344]) Ἕνεκα τοῦ θ. [345]) Μόνοις ἀνθρώπων, μεταξὺ τῶν ἀνθρώπων. [346]) Μεταξὺ ὅλων τῶν ἀνθρώπων εἰς μόνους τοὺς τοιούτους νομίζω ὅτι εἶναι καλλίτερον ὅτι ἐγεννήθησαν, ὅτι ὑπῆρξαν, (παρὰ ἂν δὲν εἶχον ὑπάρξει). [347]) Ἀφ' οὗ.
[348]) Ἀκολουθοῦντες.

[1]) Ἂν νομίζητε, ὅτι αὐτοὶ ἀδικοῦν, φρονεῖτε ὅμως ὅτι καὶ οἱ κατήγοροί των τοὺς συκοφαντοῦν. [2]) Πόθεν. [3]) Πρυτάνεις ἦσαν οἱ 50 βουλευταὶ ἑκάστης φυλῆς, οἵτινες προήδρευον κατὰ μῆνα. Αὐτοὶ εἰσῆγον τὰς ὑποθέσεις τὰς ὁποίας ἔπρεπε νὰ κρίνῃ ἡ βουλή.
[4]) Τὴν κρίσιν ἀνέφερον. [5]) Οἱ βουλευταὶ ἢ ὁ λαός. [6]) Οἱ ἐπὶ τῶν ποινῶν τεταγμένοι ὑπηρέται. [7]) (Ἐπὶ τῷ) ζημ. διὰ νὰ τοὺς τιμωρήσωσι μὲ θ. οἱ ἕνδεκα. [8]) Μοὶ φαίνεται εὔλογον. [9]) Εἰργασμένοι εἰσί, γ΄. πρ. πληθ. τοῦ παθ. παρακ. [10]) Οἱ πολλοὶ περὶ ὧν κατ' ἀρχάς.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
ΕΠΕΞΕΡΓΑΣΙΑ Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006